Digitized by Google

γνώσεως θεοῦ ἐκ μέρους καταξιωθείς — τὴν πᾶσαν γὰρ οὐδενὶ δυνατόν ἐστιν ὑποδέξασθαι — τυγχάνει καὶ τῆς τῶν ἄλλων ἁπάντων γνώσεως καὶ ὁρᾷ μυστήρια θεοῦ δεικνύοντος αὐτῷ καὶ προβλέπει τὰ μέλλοντα καὶ θεωρεῖ ἀποκαλύψεις, οἵας οἱ ἅγιοι, καὶ δυνάμεις ἐπιτελεῖ καὶ φίλος γίνεται θεοῦ καὶ πᾶν αἴτημα παρὰ θεοῦ κομίζεται‘.

29. Καὶ εἰπὼν ἄλλα τε πολλὰ περὶ ἀσκήσεως, καὶ ὅτι δεῖ τὸν θάνατον ὥσπερ μετάθεσιν ἀγαθῆς ζωῆς περιμένειν καὶ μὴ προορᾶν ἀσθένειαν σωματικὴν καὶ μὴ ἐμπιμπλᾶν κἂν τῶν τυχόντων γοῦν τὴν γαστέρα — κορεσθεὶς γάρ τις, φησίν, τὰ αὐτὰ τοῖς τρυφῶσι πάσχει βουλεύματα — ἀλλὰ πειρᾶσθαι δι’ ἀσκήσεως τὴν τῶν ὀρέξεων ἀπάθειαν κτήσασθαι· καὶ μηδεὶς τὰ ἕτοιμα καὶ τὴν ἄνεσιν ἐπιζητείτω, ἀλλὰ στενούσθω νῦν καὶ θλιβέσθω, ἵνα τὴν εὐρυχωρίαν τῆς τοῦ Χριστοῦ βασιλείας κληρονομήσῃ. 30. δεῖ γὰρ ἡμᾶς, φησίν, διὰ πολλῶν θλίψεων εἰς τὴν βασιλείαν[τοῦ θεοῦ] εἰσελθεῖν. ὅτι στενή[, φησίν,] ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. πλατεῖα δὲ ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν καὶ πολλοὶ εἰσὶν οἱ πορευόμενοι δι’ αὐτῆς. ὅτι δεῖ, φησίν, ἡμᾶς ὀλιγωρεῖν ἐνταῦθα ὀλίγον ὕστερον εἰς αἰώνιον βασιλείαν καὶ ἀπόλαυσιν ἀπιόντας. 31. καὶ ὅτι οὐ δεῖ ἐπαίρεσθαί τινα ἐπὶ τοῖς ἑαυτοῦ κατορθώμασιν, ἀλλὰ ταπεινοῦσθαι πάντοτε καὶ τὰς μακροτέρας ἐρήμους μεταδιώκειν, ἡνίκα τις αἰσθάνηται ἑαυτὸν ὑπεραιρόμενον. ἡ γὰρ πλησίον τῶν

---

3 Cf. Col. 2,2. — Joel 2,28. Act. 2,17. **4** Cf. Lc. 13,32 (cf. Justin, Dial. 7, p. 225 A) — Jac. 2,23. **5** Cf. Mt. 7,7, Lc. 11,9. **7** Cf. Hebr. 11,5. **11** Cf. Mt. 7,13. Act. 14,22. **14** Mt. 7,13. **17** Cf. 2. Petr. 3,12. **19** Cf. Lc. 14,11. 18,14. Mt. 18,4.

P²C²P⁵P¹C¹MLP³ δ r a] **1** ἐστὶ δυνατὸν P² | **2** ἐστὶν > C² | **3** θεοῦ > P² | αὐτῷ] + τοῦ θῦ P² | **4** οἵας] ὡς L | ἀποτελεῖ P² | **5** παρὰ θεοῦ] παρ’ αὐτοῦ P² | **6** καὶ εἰπὼν] εἶπεν LP³ δ | τε ἄλλα LP³ δ | πολλὰ] + καὶ C²LP³ δ | καὶ > C¹ | **7** ἀγαθῆς ζωῆς μετάθεσιν δ | περιμένειν ἀγαθῆς ζωῆς C² | **8** καὶ μὴ] μηδ’ αὖ πάλιν C² | πιμπλᾶν P²M | γοῦν > P² | κορεσάμενος LP³ δ | **9** τις] τι P¹M | πάσχειν P²P³ δ | πειρᾶσθαι] + δεῖν LP³ δ | **10** δι’ > LP³ δ | ἀσκήσεως] αἰσθήσεως C² | ἀσκήσεως] + καὶ MLP³ δ | **11** νῦν καὶ θλιβέσθω *von derselben oder einer gleichzeitigen Hd. am Rand* P³ | **12** Χριστοῦ] θῦ LP³ δ | κληρονόμήση *aus* κληρονομήσι L | δεῖ] *inc.* P⁵ | **13** φησὶν ἡμᾶς P²C² | τοῦ θεοῦ > C²P⁵P¹MLP³δ | **14** ὅτι P⁵, C² *m.2*, τι C² *m.1*, P²LP³ δ, > P¹C¹M | στενὴ] + γὰρ P¹C¹MLP³ δ | φησὶν > C²P⁵P¹M | ἡ² > L | **15** τὴν ζωὴν] αὐτὴν P⁵ | εὑρίσκοντες — 17 εἰσὶν οἱ > L | αὐτὴν] + τί; C²MLP³ δ | πλατεῖα — 17 αὐτῆς > P⁵ | **16** δὲ > P²P³ | **17** εἰσπορευόμενοι P¹M, εἰσερχόμενοι T | ὅτι a, καὶ οὐ C², οὐ P⁵, καὶ τί P²P¹C¹MLP³ δ | δεῖ] δὴ L | φησὶν > C²P⁵ | ἡμᾶς > LP³ δ | **18** αἰώνιον P⁵, αἰωνίαν *rell.*, > P² | βασιλείαν καὶ ἀπόλαυσιν P⁵, ἀνάπαυσιν *rell.* (*auch* a) | **19** καὶ > P¹ | καὶ ὅτι > C¹ | καὶ ὅτι — κατορθώμασιν > P⁵ | ἑαυτοῦ] αὐτοῦ δ, > P² | **20** καταδιώκειν C² | **21** ἡνίκα — 13,5 ἐκπεπτώκασιν] ταῦτα εἰπὼν ὁ μακάριος καὶ ἄλλα πλεῖστα περὶ ἀσκήσεως καὶ ὅτι δεῖ τὸν θάνατον ὥσπερ μετάθεσιν ἀγαθῆς ζωῆς περιμένειν καὶ μὴ προφασίζεσθαι ἀσθένειαν σώματος τὸν ἀσκεῖν βουλόμενον, ἔλεγε τούτοις συμβάλλεσθαι καὶ τὴν μακροτέραν ἔρημον. πολλοὶ γὰρ τῷ κόσμῳ πλησιάζοντες καὶ δοκοῦντες καλῶς ἔχειν δι’ ὑπερηφανίαν τοῦ σκοποῦ ἐκπεπτώκασιν P⁵ | τις > C¹ | αἴσθητε P¹, αἴσθηται M, αἰσθάνεται C² | ἑαυτὸν αἰσθάνηται P² | ἐπαιρόμενον C¹, καθαιρόμενον P² | πλησίων C². |

Digitized by Google

χωρῶν διαγωγὴ πολλάκις καὶ τοὺς τελείους ἔβλαψεν. διόπερ καὶ ὁ Δαβὶδ ψάλλει τοιοῦτόν τι πεπονθώς· ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. προσεδεχόμην τὸν θεὸν τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος. πολλοὶ δὲ καὶ τῶν ἡμετέρων ἀδελφῶν πεπόνθασί τι τοιοῦτον καὶ δι' ἀλαζονείαν τοῦ σκοποῦ ἐκπεπτώκασιν.

32. Ἦν γάρ τις τῶν μοναχῶν, φησίν, ἐν τῇ πλησίον ἐρήμῳ ἔν τῷ σπηλαίῳ διάγων, πᾶσαν ἄσκησιν ἐνδειξάμενος καὶ χερσὶν οἰκείαις τὸν ἑαυτοῦ ἄρτον ἡμέριον ποριζόμενος. ὡς δὲ προσέμενε ταῖς δεήσεσι καὶ προέκοπτε ταῖς ἀρεταῖς, ἐφ' ἑαυτῷ λοιπὸν ἐπεποίθει θαρρῶν ἐπὶ τῇ καλῇ πολιτείᾳ. 33. ὁ δὲ πειράζων αὐτὸν ὡς τὸν Ἰὼβ ἐξητήσατο καὶ δὴ φαντασίαν αὐτῷ παρέχεται πρὸς ἑσπέραν γυναικὸς εὐμόρφου πλανωμένης κατὰ τὴν ἔρημον. ἥτις εὑροῦσα τὴν θύραν ἀνεῳγμένην εἰσεπήδησεν εἰς τὸ σπήλαιον καὶ προσπεσοῦσα τοῖς γόνασι τοῦ ἀνδρὸς ᾔτει παρ' αὐτοῦ τὴν ἀνάπαυσιν, ὡς ἑσπέρας αὐτὴν καταλαβούσης. ὁ δὲ ὡς ἐλέησεν αὐτήν, ὅπερ οὐκ ὤφειλεν, ἐδέξατο αὐτὴν ἐν τῷ σπηλαίῳ καὶ δὴ ἐπυνθάνετο αὐτῆς τὴν πλάνην. ἡ δ' ὡς ἀπήγγειλε [καὶ] λόγους αὐτῷ κολακείας καὶ ἀπάτης ὑπέσπειρε καὶ παρέτεινεν ἐπὶ πολὺ πρὸς αὐτὸν τὴν ὁμιλίαν· ἠρέμα δέ πως αὐτὸν καὶ ἐπ' ἔρωτα προσεκαλεῖτο καὶ λόγοι πλείους λοιπὸν πρὸς ἀλλήλους αὐτοῖς γίνονται καὶ γέλως καὶ μειδίαμα. 34. ἀπεπλάνησεν δὲ αὐτὸν τῇ πολλῇ ὁμιλίᾳ καὶ τὸ ἐντεῦθεν λοιπὸν ἁφῇ χειρὸς καὶ γενείου καὶ αὐχένος καὶ ᾐχμαλώτευσεν τέλος τὸν ἀσκητήν. ὡς δὲ ἐστρέφετο μὲν ἐκεῖνος ἔνδοθεν τοῖς λογισμοῖς, ἅτε δὴ ἐν χερσὶν ἔχων τὸ πρᾶγμα, τὴν εὐκαιρίαν καὶ τὴν ἄδειαν τοῦ ἐκτελεῖν τὴν ἡδονὴν λογιζόμενος συνεκα-

---

2 Ps. 54,7 f. **7** Ἦν γάρ τις κτλ.] c. 44 Col. 1121 C δ. **11** Cf. Hi. 2,7 f.

$P^{2}C^{2}P^{5}P^{1}C^{1}MLP^{3}$ δ r a] **4** ἀπό^{2} *überpunktiert* P^{3} | **5** τι > δ | τοιοῦτόν τι πεπόνθασιν P^{2} | ἀλαζονείαν] ὑπερηφανίαν C^{2} | **7** φησὶ *vor* τις P^{2} | φησίν > $P^{5}M$ | ἐρήμῳ] + ποτε C^{2} | ἐν τῳ — 8 διάγων > P^{5} | τῳ > C^{1} | **8** ἐνδειξόμενος L, δειξώμενος P^{3}, ἐνδεικνύμενος C^{2} | **9** ἑαυτοῦ] ἐφήμερον P^{5} | ἡμέριον > $P^{5}LP^{3}$ δ | ἐπέμενε P^{2} | προσέμενε — καὶ > P^{5} | **10** προ//////ἐκοπτεν] σ *ausr.*? P^{1}; + ἐν C^{2} | ἐπεποιήθη δ | θαρσῶν $P^{2}LP^{3}$ δ | καλῇ] + αὐτοῦ P^{5} | **11** ἐξητήσατο τοῦτον ὡς τὸν ἰὼβ P^{5} | δὴ > P^{2} | **12** παρέσχε P^{5} δ | ἑσπέραν] + ὡς P^{5} | **13** ἥτι L | εὑροῦσα] + κατὰ P^{5} | ἐπεπήδησεν $P^{2}C^{1}M$ | **14** ᾐτεῖτο P^{5} | **15** αὐτὴν] λοιπὸν P^{2} | ὡς > $C^{2}P^{5}$ | ἠλέησεν $P^{1}MP^{3}$, ἐλεήσας (+ δῆθεν P^{5}) $C^{2}P^{5}$ | **16** ὤφειλεν] + καὶ δ | ἐδέξατο] + αὐτὸς P^{2} | αὐτὴν] ταύτην P^{5} | δὴ] τι LP^{3} δ | **17** πλάνησιν $P^{2}LP^{3}$ δ | ἀπήγγελε $C^{2}P^{3}$, *aus* ἀπήγγελτο *m. 1* L | καὶ *str.* Schw. | **18** ὑπέσπερεν P^{5} | ἐπὶ πολὺ > P^{5} | πρὸς αὐτὸν] αὐτῶν δ | τὴν ὁμιλίαν πῶς (*so*) αὐτὸν C^{1} | αὐτὸν] αὐτὴν $P^{2}M$ | **19** ἐπ'] εἰς $C^{2}P^{5}$, πρὸς P^{1} | ἐπεὶ ἐρωτᾷ P^{2}, ἐπεὶ ἐρωτᾶν LP^{3} | προσεκαλέσατο C^{2}, προεκαλεῖτο $P^{2}P^{5}P^{1}LP^{3}$ δ, προὐκαλεῖτο M | λόγους C^{2} | λοιπὸν] αὐτοῖς P^{2}, > C^{2} | πρὸς — 20 μειδίαμα] καὶ γέλως καὶ παρρησία μετ' ἀλλήλων ἐγένετο P^{5} | **20** αὐτοῖς > $P^{2}C^{2}$ | γίνονται] ἐποιοῦντο C^{2} | μειδίασμα L | ἀπεπλάνησεν — 21 λοιπὸν] καὶ P^{5} | **21** τῇ > $C^{1}MLP^{3}$ δ | γενιάδος P^{5} | καὶ αὐχένος > P^{5} | **22** καὶ > P^{2} | ᾐχμαλώτησεν $C^{1}M$ | τέλος αἰχμαλωτίζει P^{5} | τέλος] τέως δ, λοιπὸν P^{1}, > P^{2} | ἐστρέφετο — 24 λογιζόμενος > P^{5} | **24** ἀνέδειαν P^{1} | συγκατέθετο $P^{1}C^{1}M$, συνκατετίθετο C^{2}. |

Digitized by Google

τέθεικο λοιπὸν τῇ διανοίᾳ καὶ δὴ συνελθεῖν αὐτῇ ἐπειρᾶτο, ἄφρων ἤδη καὶ θηλυμανὴς ἵππος γενόμενος. 35. ἡ δὲ ἐξαίφνης μέγα ἀναβοήσασα ἄφαντος ἐκ τῶν χειρῶν αὐτοῦ γέγονεν, ὥσπερ σκία τις ἀποδραμοῦσα. γέλως δὲ ἐν τῷ ἀέρι πολὺς ἀκούεται τῶν δαιμόνων ἐλεγχόντων αὐτὸν ὡς τῇ ἀπάτῃ παραγαγόντων καὶ μεγάλῃ φωνῇ πρὸς αὐτὸν βοώντων, ὅτι· ,πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται. σὺ δὲ ὑψώθης ἕως τῶν οὐρανῶν, ἐταπεινώθης ἕως τῶν ἀβύσσων‘. 36. ἐντεῦθεν ἀνίσταται τὸ πρωὶ τὸ νυκτερινὸν πένθος ἐπισυρόμενος καὶ διημερεύσας ἐν τοῖς θρήνοις ἀπογνοὺς ἑαυτοῦ τῆς σωτηρίας, ὅπερ οὐκ ὤφειλεν, εἰς τὸν κόσμον πάλιν ὑπέστρεψεν. τοῦτο γὰρ ἐστὶ τοῦ πονηροῦ τὸ ἐπιτήδευμα, ὅταν τινὰ καταπαλαίσῃ, τοῦτον εἰς ἀφροσύνην καθίστησιν, ἵνα τοῦ λοιποῦ μηκέτι δύνηται ἀναστῆναι. ὅθεν, ὦ τέκνα, οὐ συμβάλλεται ἡμῖν ἡ πλησίον τῶν χωρῶν οἴκησις, οὐδ' ἡ τῶν γυναικῶν συντυχία ἀνεξάλειπτον ἔχουσα μνήμην, ἣν ἐκ τῆς ὄψεως καὶ ὁμιλίας ἐπισπώμεθα. οὔτε δὲ ὀφείλομεν ἑαυτῶν ἀπογνῶναι καὶ εἰς ἀνελπιστίαν ἑαυτοὺς ἀγαγεῖν. ἤδη γὰρ πολλοὶ καὶ τῶν ἀπογνωσθέντων τῆς παρὰ τοῦ ἐλεήμονος θεοῦ φιλανθρωπίας οὐκ ἐστερήθησαν.

37. Ἦν γάρ τις ἕτερος νεανίας, φησίν, ἐν τῇ πόλει πάμπολλα κακὰ ἐργασάμενος καὶ χαλεπῶς ἡμαρτηκώς, ὃς νεύματι τοῦ θεοῦ κατανυγεὶς ἐπὶ ταῖς πολλαῖς ἁμαρτίαις καὶ τοὺς τάφους καταλαβὼν τὴν προτέραν ἑαυτοῦ ζωὴν ἀπωδύρετο ἐπὶ πρόσωπον ἑαυτὸν καταβαλὼν καὶ μὴ τολμῶν ἀφιέναι φωνήν, μηδ' ὀνομάζειν θεόν, μηδὲ ἱκετεύειν, ὡς ἀνάξιον ἑαυτὸν

2 Cf. Jer. 5,8. **5** Lc. 14,11. 18,14. **6** Cf. Deut. 30,12 ff. Rö. 10,6 f. **17** Ἦν γάρ τις κτλ.] α. 45 ϑ.

$P^2C^2P^5P^1C^1MLP^3$ ϑ r a] **1** τῇ διανοίᾳ λοιπὸν P^5 | δὴ] + καὶ C^2; > LP^3 ϑ | αὐτῇ > P^5 | ἄφρων — 2 δὲ > P^5 | **2** θηλυμανὴς] + καὶ ϑ | βοήσασα C^2P^5 | **3** ὑποδραμοῦσα C^2 | **4** δὲ] + πολὺς C^2 | ἐν] αὐτῷ ϑ | τῷ > P^2 | πολὺς] πολλῶν C^2LP^3 ϑ, > C^1 | πολλῶν δαιμόνων ἀκούεται P^2 | ἠκούετο $C^2P^5P^1$ | τῶν > $P^2C^2LP^3$ ϑ | ὡς C^2, τῶν P^1 καὶ *rell.* | **5** τὴν ἀπάτην P^5 | παραγόντων $P^2P^5P^1LP^3$ ϑ | ὅτι P^5, > *rell.* | **6** σὺ δὲ] ἴδε P^2 | σὺ — 7 ἀβύσσων > P^5 | οὐρανῶν] + καὶ P^1 | **7** ἐταπεινώθης] + δὲ $P^2C^2C^1P^3$ | ἀναστὰς P^1C^1M | τὸ¹] τῷ P^1L | τὸ²] τ///ὸ C^1 | **8** πάθος P^2 | ἀποδυρόμενος Schw. | διημερεύσας — θρήνοις] δὴ P^5 | **9** τῆς ἑαυτοῦ P^2P^5 | ὅπερ] ὡς P^2 | ὑπέστρεφε C^2 | **10** καὶ τοῦτο C^2 | ἐστὶν *nach* πονηροῦ C^2 | πονηροῦ] ἐχθροῦ P^1 | ὅταν] ἐὰν P^2 | τινος C^2 | **11** τοῦτον C^2P^5, > *rell.* | ἀφροσύνην] + αὐτὸν $P^2P^1C^1MLP^3$ ϑ | ἵνα — λοιποῦ] ὥστε P^5 | μὴ C^2 | δύνηται *aus* δύναται P^1, δύναιτο P^2, δυνηθῇ C^2P^5 | **12** ὅθεν] διὰ τοῦτο εἶπον ὑμῖν P^5 | τέκνα] + ὅτι P^5 | ὑμῖν P^2M | ἡμῖν] + τοῖς μοναχοῖς C^1, > P^5 | τῶν χωρῶν] τοῦ κόσμου P^5 | οἴκησις] ἄσκησις C^2 | **13** ἡ > P^3 ϑ | συντυχία] ὁμιλία P^5P^1 | ἔχουσα] ὀχλοῦσα C^1LP^3 ϑ; + τὴν P^2 | **14** οὔτε δὲ] οὐδὲ πάλιν P^5 | ἑαυτῶν > P^5 | ἀπογινώσκειν P^2 | ἀπογνῶναι] + εἴ τι τοιοῦτον συμβῇ P^5 | καὶ — 15 ἀγαγεῖν] εἰς τελείαν χαρὰν τοῦ ἐχθροῦ P^5 | **15** ἀγαγεῖν P^1C^1M, κατάγειν P^2 | ἤδη > P^5 | πολλοὶ γὰρ P^5 | καὶ > P^5 | ἀπογνώντων C^2LP^3 ϑ | **16** τῆς > LP^3 ϑ | θεοῦ] + τῆς LP^3 | **17** τις > P^2 | ἕτερος > P^5 | φησὶν] *nach* ἕτερος ϑ, > P^5 | πόλει] + πάνυ P^2LP^3 ϑ | πάμπολλα] πάνυ πολλὰ C^2P^1M, πολλὰ P^5 | κακὰ > MLP^3 ϑ | **18** τοῦ > $P^2C^2P^5$ | κατανυχθεὶς P^1M | **19** πολλαῖς > C^2 | καὶ] ἐκείναις P^5 | τοὺς] + ἔξω τῆς πόλεως P^5 | τὴν προτέραν — 15,1 θανάτου *nach* 15,2 κατακλείσας P^5 | **20** αὐτοῦ P^2C^2M | ἀποδύρετο $P^5P^1C^1MP^3$, ἀπεδύρετο C^1L | *nach* ἑαυτὸν *ein 2.* ἑαυτὸν *ausr.* M | **21** ἀφῆναι P^1 ἀφεῖναι C^1M | φωνὴν ἀφιέναι P^2 | μηδ' — ὡς > P^2 | μηδὲ C^2 | μηδὲ — ὡς > P^5 | ὡς > C^2LP^3 ϑ.

Digitized by Google

ἡγούμενος καὶ αὐτῆς τῆς ζωῆς καὶ πρὸ θανάτου ἐν τοῖς νεκροταφίοις ἑαυτὸν κατακλείσας καὶ ἀπειπὼν ἑαυτοῦ τὴν ζωὴν ἔστενε μόνον κάτωθεν ἐκ τοῦ βάθους τῆς καρδίας. 38. ἑβδομάδος δὲ ἐπὶ ⟨τῷ⟩ αὐτῷ παρελθούσης νύκτωρ αὐτῷ ἐφίστανται δαίμονες οἱ τὸ πρὶν αὐτοῦ τὴν ζωὴν καταβλάψαντες, κεκραγότες καὶ λέγοντες· ‚ποῦ ὁ μιαρός ἐστιν ἐκεῖνος ὁ ταῖς λαγνείαις ἱκανῶς κορεσθεὶς νῦν, ἡμῖν ἄκαιρος, σώφρων ἐξαίφνης καὶ καλὸς ἀνεφάνη, καὶ, ὅτε οὐκέτι δύναται, τότε Χριστιανὸς καὶ εὔτακτος εἶναι βούλεται; καὶ τί καλὸν ἔτι ἔσεσθαι αὐτῷ προσδοκᾷς ἐμφορηθεὶς τῶν ἡμετέρων κακῶν; 39. οὐκ ἀναστήσῃ ταχὺ ἐκεῖθεν; οὐκ ἐπὶ τὰ συνήθη μεθ' ἡμῶν ἥξεις; μένουσί σε πόρναι καὶ καπηλοί. οὐκ ἐλεύσῃ καὶ τῶν ἐπιθυμιῶν ἀπολαύσεις πάσης σοι τῆς ἄλλης ἐλπίδος κατασβεσθείσης; ἥξει σοι πάντως ταχεῖα ἡ κρίσις οὕτως ἑαυτὸν ἀναιροῦντι. καὶ τί σπεύδεις πρὸς τὴν τιμωρίαν, ὦ ἄθλιε; τί δὲ φιλονικεῖς θᾶττον ἐπελθεῖν σοι τὴν δίκην;' ἄλλα τε πολλὰ λέγοντες· ‚ἡμέτερος εἶ, ἡμῖν συνετάξω, ἀνομίαν ἤσκησας πᾶσαν, πάντων ἡμῶν ὑπεύθυνος γέγονας καὶ δραπετεύειν τολμᾷς; οὐκ ἀποκρινῇ; οὐ συγκαταθήσῃ; οὐ συνεξελεύσῃ;' 40. ὡς δὲ ἐκεῖνος πρὸς ταῖς οἰμωγαῖς καρτερῶν οὐδὲ τὴν ἀκοὴν ὑπεῖχεν αὐτοῖς οὐδ' ἀπεκρίνατο πρὸς αὐτοὺς λόγον, ἐπὶ πολὺ ἐπιμενόντων αὐτῷ τῶν δαιμόνων. ὡς δὲ οὐδὲν ἤνυσαν τὰ αὐτὰ πολλάκις λέγοντες, διαλαβόντες αὐτὸν οἱ πονηροὶ δαίμονες ᾔκιζον

$P^2C^2P^5P^1C^1MLP^3$ δ r a] **1** αὐτοῦ τοῦ ζῆν P^5 | καὶ² > P^2 | πρὸ] + οὖν P^2 | ἐν — 2 ἑαυτὸν] καὶ εἰς ἕνα τοῦτον P^5 | νεκροτάφοις $P^2C^2LP^3$ δ | **2** ἐγκλείσας ἑαυτὸν τὴν προτέραν κτλ. *s. zu* 14,19 P^5 | καὶ > C^2 | **3** βύθου C^2 | δὲ] οὖν P^2 | δὲ ἐπὶ] μιᾶς P^5, > M | ἐπὶ > P^1 | ⟨τῷ⟩ *add.* Schw. | ἐπὶ — αὐτῷ > P^2 | **4** νύκτωρ////// P^3 | αὐτῷ] τούτω M, > P^5 | ἐπίστανται C^1M, ἐπέστησαν P^2, ἐπιστάντες P^1 | ἐφίστανται] + οἱ P^1P^3 δ | τὴν ζωὴν αὐτοῦ P^3 | ζωὴν] ψυχὴν P^2 | καταβλάπτοντες P^5 | καταβλάψαντες] + καὶ P^3 | **5** κράζοντες P^1C^1M | ἐστιν > P^2C^2 | ἐκεῖνος ἐστὶν P^5 | ἐκεῖνος] + καὶ βέβηλος C^2 | ὅς Schw. | λαγνείαις] ἀσελγείαις P^5 | **6** κορεσθεὶς] πορευθεὶς LP^3; + καὶ P^5 | νῦν] + οὖν P^2 | ἀκαίρως P^1 Schw. | ἐξαίφνης — 7 ἀνεφάνη] ἀφανεὶς ἐξαίφνης P^5 | ἐξαίφνης > C^1 | καὶ καλὸς > C^2 | καλῶς P^1 | **7** καὶ ὅτε οὐκέτι] ὅτε γὰρ οὐ P^5 | **8** ἔτι > P^5 | αὐτῷ ἔσεσθαι P^5 | αὐτῷ] αὐτῶι////// L, σεαυτῷ P^2P^3, σαυτῷ C^2 | προσδοκᾶς $P^2C^2P^3$, προσδοκᾶ////// L, προσδοκᾶ *rell.* | **9** τὰς συνήθεις P^1 | **10** μεθ' > C^2 | μένουσιν — καπηλοὶ *hinter* ἀπολαύσεις M | σε] σοι P^1L δ, αἱ C^2 | καὶ] + οἱ *m. 2 s. l.* C^2 | οὐκ — 11 ἀπολαύσεις > C^2 | **11** ἀπολαύσῃ P^5 | σοι] σου MLP^3 δ, > P^2; + λοιπὸν P^1 | ἄλλης] + σοι P^2 | ἄλλης *i. mg. m. 1* P^3 | ἀποσβεσθείσης C^1 | **12** σοι — κρίσις] τάχα φοβερὰ κρίσις P^5 | οὕτως — ἀναιροῦντι] ὑπὲρ ἐκείνων ἁπάντων P^5 | σεαυτὸν C^2 | **13** τὴν > P^2 | ὦ > P^5 | τί] ἔτι δὲ καὶ C^2 | δὲ > C^2LP^3 δ | θᾶττον] ταχ *der Rest verklebt; von jüngerer Hd. zu* ταχεῖ τοῦ *erg.* P^5 | [εἰσελ]θεῖν *verklebt* P^5, ἐπέρχεται P^1 | σοι] σου L | ἡ δίκη P^2 | **14** δίκην *in* L *folgt hier ein nicht zur hist. mon. gehöriges Blatt* | δίκην] + καὶ C^2 | ἄλλα — λέγοντες] ἑαυτὸν ἀναιρῶν ὅμως P^5, > P^2 | ἡμῖν, ν *von m. 2 a. Ras.* C^2 | ἡμῖν — 15 ἡμῶν > P^2 | ἀνομίαν — 15 πᾶσαν > P^5 | πᾶσαν ἀνομίαν ἤσκησας M | **15** πᾶσαν > C^2 | ἡμῶν > P^1 | καὶ] + νῦν P^5 | ἀποκρινῇ Schw., ἀποκρίνῃ O (ἀποκρίν; C^1) | **16** συγκατατίθῃ P^2, συνθήσῃ C^2, συντίθῃ P^5, συντάσσῃ LP^3 δ | συνεξελεύσῃ] + ἡμῖν ἅμα C^2 | πρὸς > C^2 | **17** ἐπεῖχεν P^1C^1M, παρέσχεν C^2 | ἀποκρίνατο P^3 | πρὸς αὐτοὺς > C^2 | **18** λόγον] + αὐτοῖς C^2 | ἐπὶ πολὺ — 19 λέγοντες > P^5 | αὐτῷ > C^2 | ὡς — ἤνυσαν] καὶ ταῦτα M | δὲ > P^2C^2 Schw. | οὐδὲν] οὐκ P^2 | ἤνυσαν] ἴσχυσαν C^2 | **19** τὰ αὐτὰ > $P^2C^2P^5MLP^3$ δ | πολλάκις λέγοντες > C^2 | πολλάκις] + ταῦτα LP^3 δ, τὰ αὐτὰ Schw., ταῦτα αὐτῷ P^2 | λεγόντων M | διαλαβόμενοι M | αὐτὸν] αὐτῷ P^2, > P^1 | οἱ — δαίμονες > M | πονηροὶ > r | πονηροὶ] + καὶ αἰσχροὶ LP^3 δ | δαίμονες > P^2 | ᾔκιζον] ἔτυπτον P^5 | ᾔκιζον — 16,2 ᾤχοντο] καὶ χαλεπῶς βασανίσαντες κατέλιπον ἡμιθανῆ C^2. |

Digitized by Google

χαλεπῶς ἄγαν ἅπαν τὸ σῶμα αὐτοῦ καταξαίνοντες καὶ βασανίσαντες αὐτὸν χαλεπῶς ἡμιθανῆ καταλιπόντες ἀπήρχοντο. 41. ὁ δὲ οὐδὲν ἧττον ἀκίνητος, ἔνθαπερ αὐτὸν κατέλιπον, ἔκειτο στένων αὖθις, ἐπειδὴ τὴν ψυχὴν συνελέξατο. τῶν δὲ οἰκείων αὐτοῦ κατ' ἴχνος ἀναζητησάντων αὐτὸν καὶ εὑρόντων καὶ τὴν αἰτίαν τῆς τοῦ σώματος συμφορᾶς παρ' αὐτοῦ μαθόντων, ἠξίουν αὐτὸν ἀπαγαγεῖν οἴκαδε. 42. ὁ δὲ ἐπὶ πολὺ πολλάκις βιασαμένων ἀντέσχεν καὶ πάλιν αὐτὸν τὴν ἐπιοῦσαν νύκτα χείρω τῶν ἔμπροσθεν οἱ δαίμονες ἐπὶ τοῖς αὐτοῖς διατίθενται. καὶ οὐδ' οὕτως πάλιν οἱ προσήκοντες αὐτὸν πείθουσι μεταστῆναι τοῦ τόπου, κρεῖττον εἶναι τεθνάναι λέγοντα ἢ ἐν τοιαύταις κηλῖσι τοῦ βίου ζῆν. 43. ἡ τρίτη νὺξ τῶν δαιμόνων μικροῦ πάντη τὸν ἄνθρωπον τῆς ζωῆς ἀπήλλαξεν ἀνηλεῶς ἐπιπεσόντων αὐτῷ ταῖς βασάνοις καὶ ἕως ὑστάτης πνοῆς κακωσάντων. ὡς δ'οὐκ εἶδον ἐνδόντα, ᾤχοντο, ἄπνουν μὲν καταλιπόντες τὸν ἄνθρωπον. ἀπελθόντες γοῦν ἐκεκράγησαν λέγοντες· ,ἐνίκησας, ἐνίκησας, ἐνίκησας'.

---

2 Cf. Lc. 10,30.

$P^2C^2P^5P^1C^1MLP^3$ δ r a] **1** ἄγαν ἅπαν] ὅλον P^5 | ἅπαν > $P^2P^1C^1M$ | αὐτοῦ τὸ σῶμα P^5 | καταξέοντες (*so*) πληγαῖς ἀφορήτ[οι?]ς P^5 | βασανίζοντες P^1C^1M | **2** αὐτὸν > M | χαλεπῶς] σφοδρότατα P^5, ἀτόνως M, > P^2 | καταλειπόντες P^1L, κατέλιπον r | ᾤχοντο LP^3 δ, ἀπῴχοντο P^2, ἀνεχώρησαν P^5, > r | οὐδὲν — 3 κατέλιπον > P^5 | ἧττον] + ἀλλ' C^2 | **3** ἀκίνητος > $P^5P^1C^1$ | κατέλειπον P^1 | ἔκειτο] + ἐν τῷ τάφῳ ἀκίνητος P^5 | στένων] σθένων L; + καὶ ὀδυρόμενος καὶ C^2 | αὖθις — 4 συνελέξατο] καὶ τὴν ψυχὴν ἀπολεγόμενος P^5 | αὖθις] αὐτοῖς LP^3, > C^2 | ἐπειδὴ] ἐπὶ δὲ L, > C^2 | τῇ ψυχῇ P^3 | **4** τῶν — αὐτοῦ] οἱ δὲ οἰκεῖοι καὶ (+ οἱ C^2) προσοικοῦντες αὐτῷ (αὐτοῦ P^3) C^2P^5 | ἀναζητούντων LP^3 δ, ἀναζητήσαντες C^2, ἀναζητοῦντες P^5 | αὐτὸν *nach* εὑρόντων P^1 | **5** καὶ εὑρόντων] καὶ ἐρευνῶντες εὗρον αὐτὸν P^5 | εὑρόντες C^2 | τῆς — 6 μαθόντων] τοῦ ἀφορήτου δαρμοῦ παρ' αὐτοῦ μαθόντες P^5 | παρ' αὐτοῦ > LP^3 δ | **6** ἀναμαθόντων L, μαθόντες C^2 | αὐτὸν > P^2C^2 | ἀγαγεῖν C^2LP^3 δ | ὁ — 7 ἀντέσχεν] αὐτὸς δὲ οὐδ' ὅλως ἠνέσχετο ἐξελ[illegible]θεῖν (ελ *ausr.*) τοῦ τάφου P^5 | ὁ] ὡς P^2 | ἐπὶ — 7 νύκτα] οὐδ' ὅλως ἀνασχόμενος ἔμεινεν ἐκεῖ. πάλιν τε αὐτῷ τῇ ἐπιούσῃ νυκτὶ C^2 | πολλάκις] πολλὰ P^2 | **7** καὶ > P^2 | πάλιν] + οὖν P^5 | τῇ ἐπιούσῃ νυκτὶ P^5C^1 (r?) | χείρων τῶν L | χείρω — 8 διατίθενται] ὥσπερ θῆρες ἄγριοι ἐπιστάντες οἱ δαίμονες χείρονας τῶν πρώτων π[εποιηκῶς *m. rec.*] αὐτῷ ἐπιτίθενται [καὶ οὐδ *m. rec.*] P^5 | **8** πρόσθεν P^2, πρώτων C^2 | ἐπὶ — αὐτοῖς > C^2 | διατιθέμενοι P^1C^1M | πάλιν > C^2P^5 | **9** οἱ προσήκοντες > C^2 | αὐτὸν] αὐτῷ M; *nach* πάλιν (C^2) LP^3 δ | ἔπεισαν P^5 | πείθουσι] *nach* σκοποῦ (= τόπου) C^2; + τοῦτον MP^5 | ἀποστῆναι P^5 | σκοποῦ C^2 | κρεῖττον — 10 ζῆν· ἢ > P^5 | **10** λεγόντων C^1 | τοῦ βίου κηλῖσι C^2 δ | **11** τῶν δαιμόνων] καὶ οἱ δαίμονες C^1 | τῶν — ἀπήλλαξεν] καὶ μικροῦ δεῖν τὸν ἀνον τοῦ ζῆν ἀπήλλαξαν οἱ ἀνθρωποκτόνοι δαίμονες P^5 | μικροῦ] σχεδὸν P^2 | τὸν ἄνθρωπον] τῶν ἀνθρωπίνων P^2 | ἀπήλλαξεν] + τὸν ἄνθρωπον P^2 | **12** ἐπιπεσόντων] ἐπιπεσόντες P^5 | τῶν βασάνων LP^3, > P^5 | ἕως] + τῆς LP^3 δ | ἀναπνοῆς P^5 | πνοῆς] + αὐτὸν C^1 | κακωσάντων] τύπτοντες P^5 | **13** δ' > C^1M | οὐκ > P^2 | εἶδον] + αὐτὸν P^5P^1 | ἐνδιδόντα P^2, πτωηθέντα, ἀλλὰ μᾶλλον ἐπὶ τοῖς ἡμαρτημένοις πενθοῦντα P^5 | ᾤχοντο] ἀπερχόμενοι P^5 | ἄπνουν — 14 λέγοντες] φωνὰς τοιαύτας ἠφίεσαν P^5 | μέντοι C^2 | τὸν ἄνθρωπον] αὐτὸν P^2 | **14** ἀπερχόμενοι P^2C^1 δ | ἀπελθόντες — λέγοντες] ἐκεκράγασιν C^2 | γοῦν] δὲ P^2, οὖν C^1M, > P^1 | κεκράγασιν $C^2P^1LP^3$ δ | ἐνίκησας[2.3]] ἤδη τρίτον C^1, τρίτον M | ἐνίκησας[3] > P^2 δ r. |

Digitized by Google

καὶ οὐκέτι αὐτῷ συνήντησεν οὐδὲν δεινόν, ἀλλὰ καθαρῶς τὸν τάφον ᾤκησεν, ἕως ἔζη, ἀσκήσας τὴν ἀρετὴν καθαράν· οὕτω καὶ θεῷ τίμιος γενόμενος ἐν δυνάμεσι καὶ θαυμάτων ἐπιδείξεσιν, ὥστε πολλοῖς καὶ θαῦμα καὶ ζῆλον καλῶν ἐπιτηδευμάτων παρασχεῖν. 44. ἐκ τούτου πλεῖστοι καὶ τῶν σφόδρα ἀπεγνωκότων ἑαυτῶν μετῆλθον τὰς καλὰς πράξεις καὶ κατώρθωσαν καὶ γέγονεν αὐτοῖς τὸ τῆς γραφῆς λεγούσης· πᾶς ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. προηγουμένως οὖν, ὦ τέκνα, τὴν ταπεινοφροσύνην ἀσκήσωμεν κρηπῖδα οὖσαν πασῶν τῶν ἀρετῶν. πάνυ δὲ συμβάλλεται ἡμῖν καὶ ἡ μακροτέρα ἔρημος πρὸς τὴν ἄσκησιν.

45. Γέγονε γάρ τις ἕτερος μοναχὸς τὴν πορρωτέρω ἔρημον κατειληφὼς καὶ ἐν πολλοῖς ἔτεσι τὰς ἀρετὰς κατορθώσας. ἐν γήρει λοιπὸν τυγχάνων τῆς τῶν δαιμόνων ἐπιβουλῆς ἐπειρᾶτο. ἦν γὰρ πάνυ ὁ ἀσκητὴς τὴν ἡσυχίαν ἀσπαζόμενος καὶ ἐν εὐχαῖς καὶ ὕμνοις καὶ θεωρίαις πολλαῖς διημερεύων καὶ ὁράσεις θειοτέρας τινὰς ἐναργεῖς ἐθεώρει, τοῦτο μὲν ἐγρηγορώς, τοῦτο δὲ καθ' ὕπνους. 46. καὶ σχεδὸν ἴχνος ἐπείληπτο τῆς ἀσωμάτου ζωῆς οὐ γῆν

P^{5}: **15** οὐ γῆν κτλ.] μηδενὸς ὅλως τῶν τοῦ κόσμου τούτου φροντίζων, οὐ περὶ ἐνδύματος, οὐ περὶ τροφῆς, ἀλλὰ πᾶσαν τὴν πεποίθησιν ἔχων πρὸς θεὸν καὶ αὐτῷ τὴν ἑαυτοῦ φροντίδα καταλιπών

---

6 Luc. 14,11. 18,14. **10** Γέγονε κτλ.] c. 46 ϑ.

$P^{2}C^{2}P^{5}P^{1}C^{1}MLP^{3}$ ϑ r a] **1** συνήντησεν αὐτῷ C^{2} | οὐδὲν] τι C^{2} | καθαρῶς *corr. m. 2 zu* καθαρὸς P^{2}, καθαρὸς ὡς καθαρῶς $C^{2}C^{1}$, καθαρὸς καθαρῶς M, ἀφόβως ϑ | **2** ἔζη] ζωῆς C^{2}, > C^{1}M | ἔζη — καθαράν] τέλους τὴν ἀρετὴν καθαρὰν ἀσκήσας P^{5} | ἐξασκήσας P^{1}M, ἐξήσκησεν C^{1}, > C^{2} | καθαρὰν τὴν ἀρετὴν LP^{3} ϑ | καθαράν] + ἐξασκήσας C^{2}, ἐν γαλήνη P^{2} | οὕτως C^{1}M, οὗτος LP^{3} ϑ, > C^{2} | καὶ οὕτω P^{2} | καὶ — 3 ἐπιδείξεσιν] καὶ θαυμαστῶς τοῖς πᾶσι γενόμενος διά τε τὴν καρτερίαν καὶ διὰ τὰ ὑπ' αὐτοῦ γινόμενα θαύματα P^{5} | **3** γενόμενος] + διέπρεψε P^{2} | ἐν δυνάμεσι] ἐνδειξάμενος P^{1}M, > C^{1} | θαυμασταῖς C^{2} | ἐπίδειξιν $P^{1}C^{1}$M | ἐπιδείξεσιν] + *i. mg. m. 1?* ἐνδειξάμενος C^{1} | ὡς C^{2} | ὥστε] + τοῖς P^{5} | θαύματα $P^{1}C^{1}$M | **4** ζῆλον] + τῶν C^{2} | παρέσχεν $P^{1}C^{1}$M | ἐκ — 6 λεγούσης] πολλοὶ γὰρ τῷ ὑποδείγματι τούτου καὶ τῶν σφόδρα ἀπεγνωσμένων τὸν βίον μετήλλαξαν καὶ τὰς ἀγαθὰς πράξεις κατώρθωσαν ὡς πληρωθῆναι καὶ ἐπ' αὐτοὺς τό· P^{5} | πλεῖστοι] + δὲ LP^{3}; > P^{2} | καὶ > C^{2} | **5** σφόδρα] + πλεῖστον P^{2} | ἀπεγνωσμένων C^{2} | μετῆλθον] μεταβαλόντες C^{2} | τὰς > C^{2} | τὰς — πράξεις] ἐνάρετον βίον P^{2} | καὶ > C^{2} | κατορθώσεις P^{2}, κατόρθωσαν $C^{1}P^{3}$ | **6** καὶ — αὐτοῖς] οἷς καὶ γέγονε C^{2} | λεγούσης] λόγιον P^{1}; + ὅτι C^{2} | πᾶς] + ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται καὶ C^{2}M; > P^{5} | **7** <π>ροηγούμενος] π *auf dem über ein Loch geklebten Zettel von j. Hd. zu* καὶ *gemacht* P^{5} | ὦ > $P^{1}LP^{3}$ | τέκ[να τὴν] P^{5} | τὴν > $C^{2}MLP^{3}$ ϑ | ἀ[σκήσω]μεν P^{5} | **8** κρηπὶς γάρ ἐστιν C^{2} | κρηπῖδα] + πρώτην P^{2} | οὖσαν *nach* πασῶν $C^{2}LP^{3}$ ϑ | ἀρετῶν] + κεκτημένοι P^{2} | πάνυ] πάντως $P^{1}C^{1}$ | συμβάλεται P^{5} | καὶ > C^{2} | **10** τις] + καὶ $P^{2}P^{5}LP^{3}$ ϑ | μοναχός] + πρὸς P^{2} | πορροτέρω P^{5}, πορρωτέραν $P^{2}C^{2}$, πόρρω LP^{3} ϑ | **11** καὶ — κατορθώσας > P^{1} | ἔτεσι] ἔτι P^{5} | κατορθώσας] + καὶ P^{2} | γήρα P^{2} | **12** ἐπειράθη $P^{2}P^{1}$ | ὁ > P^{5} | τὴν > P^{1}M | **13** ἀσπαζόμενος] ἀγαπῶν C^{1} | ἐν > M | πολλαῖς > C^{2} | καὶ⁴ — 15 ὕπνους > P^{5} | **14** θείας C^{2} | τινας *nach* ὁράσεις C^{1}M, > $P^{2}C^{2}P^{1}$ | ἐναργῶς P^{2}, ἐνεργεῖς LP^{3} ϑ; > C^{2} | τοῦτο$^{1.2}$] τὸ C^{2} | δέ] + καὶ $P^{2}C^{1}$ | **15** ὕπνον $P^{1}C^{1}$M | σ[χεδὸ]ν P^{5} | ἴχνους C^{2}, κατ' ἴχνος P^{2}; > M | ἐπείλημπτο LP^{3} | ἀ[σωμ]άτου P^{5} | ζωῆς] φύσεως; *die stark abweichende Fortsetzung von* P^{5} *s. oben.* | οὐκ εἰς γῆν P^{2}. |

Digitized by Google

φυτεύων, οὐδὲ φροντίζων διαίτης, οὐδὲ ἐν τοῖς φυτοῖς ζητῶν, ὅ τι παρέχοι τῷ σώματι δεομένῳ, ἀλλ' οὐδ' ἐκ τῆς χλοῆς, οὐδ' ἄγραν ὀρνίθων, οὐδ' ἄλλου τινὸς μετήρχετο ζώου, ἀλλὰ πεποιθήσεως γέμων εἰς θεόν, ἐξ ὅτου ἐκ τῆς οἰκουμένης ἐκεῖ μετέστη, λόγον οὐδενὸς εἶχεν, ὅπως αὐτῷ τρεφόμενον διαμένοι τὸ σῶμα, ἀλλ' ἐν λήθῃ πάντων ἑκὼν ἀνεῖχεν ἑαυτὸν τελείῳ πόθῳ πρὸς τὸν θεὸν παραμένων καὶ περιμένων τὴν κλῆσιν καὶ τὴν ἐκ τοῦ κόσμου μετάθεσιν καὶ τό γε πλεῖστον τῇ τέρψει τῶν μὴ φαινομένων καὶ ἐλπιζομένων ἐτρέφετο. καὶ οὔτε τὸ σῶμα κατετήκετο τῇ περιστάσει, οὔτε ἄθυμος ἦν ἡ ψυχή, ἀλλ' ἐν σεμνῇ τῇ καταστάσει τὴν καλὴν ἕξιν εἶχεν. 47. πλὴν ἀλλὰ τιμῶν αὐτὸν ὁ θεὸς διά τινος τεταγμένου χρόνου δύο ἢ τριῶν ἡμερῶν ἄρτον ἐπὶ τῆς τραπέζης ἐδίδου φαίνεσθαί τε καὶ εἶναι καὶ κεχρῆσθαι [πρωτεῖον καὶ καθαρὸν καὶ ἡδύν]. καὶ εἰσερχόμενος ἐκεῖνος ἐν τῷ σπηλαίῳ, ἡνίκα ᾐσθάνετο δεομένου τοῦ σώματος, ηὕρισκε τροφὴν καὶ προσκυνήσας καὶ εὐωχηθεὶς πάλιν τῶν ὕμνων ἀπέλαυεν, ἐπιμόνως τῆς εὐχῆς καὶ τῆς θεωρίας ἐχόμενος, θάλλων ὁσημέραι καὶ ἐπιδιδοὺς τῷ παρόντι τῆς ἀρετῆς καὶ τῷ μέλλοντι τῆς ἐλπίδος ἐπὶ τὸ μεῖζον προβαίνων ἀεί·

---

10 P^5: τιμῶν οὖν αὐτὸν ὁ θεὸς ὡς αὐτοῦ θεράποντα γνήσιον διά τινος τεταγμένου καιροῦ δύο ἢ τριῶν ἡμερῶν ἄρτον ἐπὶ τῆς τραπέζης ἐρχόμενος εὕρησκεν καθαρόν τε καὶ ἡδύ<ν>. προσκυνῶν ο<ὖν καὶ> εὐχαριστῶν τῷ δεδωκ<ότι θεῷ>, ὅσον ἡ φύσις ἐδέετο <παρ' αὐτ>οῦ εὐωχούμενος <πάλιν> πρὸς τοὺς ὕμνους ἐξή<ρχετο>, ἐπὶ μόνῳ εὐχῇ καὶ τῇ θεωρίᾳ σχολάζων, θάλλων ὡσεὶ μέραι καὶ προκόπτων τῇ ἐλπίδι καὶ τῇ πρὸς θεὸν ἀγάπῃ θαρρῶν καὶ ἀπεκδεχόμενος ὡς ἤδη ἐν χερσὶν ἔχων τὴν ἀντίδοσιν τῶν ἀποκειμένων ἀγαθῶν. ὡς δὲ εἰς τοιοῦτον φρόνημα ἦλθεν καίτοι τοιοῦτος ὤν, λοιπὸν ἑαυτῷ ἐπεποίθει

---

7 Cf. Hebr. 11,1.

$P^2C^2P^1C^1MLP^3$ δ r a] **1** οὐδὲ² — 3 ζώου > C^2 | οὐδ' P^2M | παρέχει P^2, παράσχει P^1C^1, παράσχῃ M | **2** ἄγαν L | οὐδὲ $C^2P^1LP^3$ δ | **3** μετείχετο P^1, μετήρχετο, *von j. Hd. zu* μετείχετο *corr.* P^2 | γέμων] + ἐλπίζειν C^2 | ἐξ ὅτου — 5 ἑαυτὸν > C^2 | εἰς] πρὸς P^1; + τὸν P^2P^1 | **4** μετῆλθεν ἐκεῖ LP^3 δ | μετέστη] + καὶ C^1MLP^3 δ | οὐδένα P^2 | εἶχεν] ἐποιεῖτο P^2 | αὐτὸ C^2MLP^3 δ, αὐτοῦ C^1 | **5** διαμείνῃ, *von j. Hd. zu* διαμείνει *corr.* P^2 | ἑκὼν] + γενόμενος P^2 | ἀντεῖχεν P^2 | ἑαυτὸν *nach* τελείῳ P^2 | **6** πρὸς θεὸν] τῷ θεῷ ἀνατιθεὶς P^2; > C^2 | τὸν > LP^3 δ | παραμένων > P^2C^2 | καὶ — κλῆσιν] καίπερ μένων τῇ κλήσει L | τὴν κλῆσιν καὶ > P^1C^1M | καὶ² > C^2 | **7** μετάβασιν C^2 | τῷ .. πλείστῳ (+ μέρει P^2) P^2C^1M, τῷ πλείστῳ γε LP^3 δ | γε > C^2 | τῇ] + τε P^2 | μὴ > $P^1C^1MLP^3$ δ | **8** κατετήκετο] + αὐτοῦ P^2C^1, αὐτῷ P^3 | περιστάσει Schw., παρατάσει L, παρεκτάσει C^2, παραστάσει *rell.* | **9** οὐδὲ ῥάθυμος P^2, οὔτ' ἄτιμος P^1 | σεμνῇ] + τινι P^2P^3 | τῇ > C^2P^3 | ἔχειν L ἔσχε δ | **10** ἀλλὰ > C^2P^1 | δυοῖν P^1C^1M | **11** τῆς > P^1C^1M | καὶ²] *dahinter ein 2. compendiarisch geschr.* καὶ *von 1. Hd. ü. d. Zeile* P^1; > *a. Ende d. Zeile* L | φαίνεσθαι — 12 ἡδὺν] *zu seinem Gebrauche rein und vorzüglich* (κεχρῆσθαι καθαρὸν καὶ πρωτεῖον) a | καὶ² *m. 1. s. l.* C^1 | **12** πρωτεῖον — ἡδὺν C^2 r, > *rell.* | εἰσελθών, *i. mg. m. 2*: εἰσερχόμενος C^1, εἰσιὼν LP^3 δ | ἐκεῖνος > MLP^3 δ | **13** ἡνίκα] + ἂν C^2 | αἰσθάνετο P^1C^1ML | ηὕρισκε] εὑρὼν P^2, εὗρε M; + τε τὴν LP^3 δ, τὴν C^1 | καὶ > P^2M | **14** προσκυνῶν C^2P^1 | εὐωχούμενος C^2, εὐχόμενος P^1 | τὸν ὕμνον C^2 | **15** εὐχῆς] + τε P^2LP^3 | τῆς > M | ἐχόμενος] κατατρυφῶν P^2 | ὡσημέραι P^2, ὡσήμεροι P^1, ὡς ἡμέρα L; > C^2 | **16** τῆς ἀρετῆς > δ | ἀεὶ προβαίνων C^2 | προέβαινεν C^1. |

Digitized by Google

καὶ σχεδὸν ἐθάρρει περὶ τῆς ἀμείνονος ἑαυτοῦ λήξεως, ὡς ἔχων αὐτὴν ἐν χερσὶν ἤδη. ὃ καὶ γέγονεν αὐτῷ, μικροῦ δεῖν ἀποπεσόντος ἐκ τοῦ μετὰ ταῦτα ἐπελθόντος αὐτῷ πειρασμοῦ. 48. τί γὰρ οὐ λέγομεν αὐτοῦ τὴν παρ' ὀλίγον πτῶσιν; ὡς γὰρ εἰς τὸ φρόνημα τοῦτο προῆλθεν, ἔλαθεν ἑαυτὸν οἰόμενος πλέον εἶναί τι τῶν πολλῶν, καὶ ὡς ἤδη [τι] παρὰ τοὺς ἄλλους ἀνθρώπους μεῖζόν τι κεκτημένος καί, τοιοῦτος ὤν, λοιπὸν ἑαυτῷ ἐπεποίθει. 49. γεννᾶται οὖν οὐκ εἰς μακρὰν αὐτῷ πρῶτόν τις μικρὰ ῥαθυμία, ὅσον μηδ' εἶναι ῥαθυμίαν δοκεῖν· εἶτα φύεται μείζων ἀμέλεια· εἶτα ὅσον καὶ αἴσθησιν εἶναι. καὶ γὰρ ἐκ τῶν ὕπνων ὀκνηρότερος διανίστατο πρὸς τοὺς ὕμνους καὶ τὸ τῶν εὐχῶν ἤδη ἀργότερον, καὶ ὁ ὕμνος οὐχ οὕτως ἐκτεταμένος καὶ ἡ ψυχὴ βουλομένη, φησίν, ἀναπαύεσθαι καὶ ὁ νοῦς ἔνευσε κάτω καὶ οἱ λογισμοὶ ῥεμβασμούς τινας ἔπασχον, καί πού τις ἐν τοῖς κρυφίοις καὶ ἀτοπία ἐμελετᾶτο. πλὴν ἀλλ' ὁ ἐθισμὸς ἐκ τῶν ἔμπροσθεν ἀπῆγέν πως ἔτι τὸν ἀσκητήν, ὥσπερ ῥύμη τις ἐκ τῆς ὁρμῆς ἐκείνης, καὶ διέσωζε τέως. 50. καί ποτε εἰσελθὼν μετὰ τὰς συνήθεις εὐχὰς πρὸς ἑσπέραν εὗρε τὸν ἄρτον ἐπὶ τῆς τραπέζης θεόθεν αὐτῷ χορηγούμενον καὶ ἀνεκτήσατο· ἐν νῷ δὲ τὰς μειώσεις ἐκείνας οὐκ ἀπεβάλετο, οὐδὲ ἐλογίσατο, ὅτι τὰ παροράματα τὴν σπουδὴν βλάπτει, οὐδὲ ἐπὶ τὴν ἴασιν ἐτρέπετο τοῦ κακοῦ, ἀλλὰ μικρὸν ᾠήθη τὸ παρ' ὀλίγον τῶν δεόντων ἀποπεσεῖν.

---

7 P^5: καὶ ἐκ τούτου γίνεταί τις αὐτῷ μικρὰ ῥαθυμία, ὅσον κτλ.

$P^2C^2P^5P^1C^1MLP^3$ δ r a] **1** ἐθάρσει $P^2P^1P^3$, ἐν θάρσει L | ἀμείνω P^1C^1 | αὐτοῦ C^2 δ | λέξεως δ | ὡς > P^2C^2 | **2** ὃ — αὐτῷ] ὁ οὖν τοιοῦτος C^2 | γέγονεν] + ἐν P^2 | μικροῦ] + δὲ P^2 | ἀποπεσόντος] ἀπέπεσεν ἂν C^2, ἐκπεσόντος P^2, ἀποπεσεῖν, *i. mg.* + τῆς χάριτος *m. 2* C^1 | **3** ἀπελθόντος P^3 | λέγωμεν P^1 | αὐτοῦ *vor* 4 πτῶσιν C^2 | **4** παράλογον $C^2P^1P^3$ | ὀλίγα δ | ἦλθεν P^2P^1M | ἔλαβεν P^1M, ὑπέλαβεν, *i. mg. m. 2* ὑπελάμβανεν C^1 | **5** πλεῖον C^1 | τι¹ > P^2 | ᾔδει δ | τι² > C^2 | τοὺς ἄλλους] πολλοὺς C^2 | **6** τι > P^2C^2 | κεκτημένους C^1 | **7** οὖν] αὐτῷ P^2 | αὐτῷ *nach* οὖν C^1 | αὐτῷ > P^2 | πρῶν C^1 | τις ῥαθυμία μικρὰ P^2, μικρά τις ῥ. L | ὅσον — 8 δοκεῖν > C^2 | **8** μηδὲ $P^2P^5P^1C^1$ | εἶναι] + τοῦ P^5 | [<ῥ>α]θυμίαν P^5 | δοκεῖν *hinter* ὅσον *Z. 7* P^5 | μεῖζον P^1C^1M, <μείζω>ν P^5 | εἶτα² > P^1 | εἶτα² — 9 εἶναι > C^2P^5 | **9** γὰρ] λοι<πόν> P^5; + καὶ P^1P^3 δ; > C^2 | ἐκ τῶν ὕ<πνω>ν *hinter* ὀκνηρότερος P^5 | τὸν ὕπνον *m. 1 corr. aus* τῶν ὕπνων L | ὕπνων] + λοιπὸν C^2 | ὀκνηρότερον $C^2C^1LP^3$ δ | διανίσταται P^1, διανιστάμενος P^5 | **10** καὶ τὸ — ἀργότερον > C^2 | εὐχῶν] + ὅσον P^2 | ὁ ὕμνος > P^5 | ἐκτεταμένον P^5 | **11** καὶ — ἀναπαύεσθαι > P^5 | φησὶν > P^2C^2 | ἔνευσε] ἔπεσε δ, ἔνεσε P^3 | ἔνευσε κάτω] ἐν ἑκάστωι L | **12** καί που — 15 τέως > P^5 | πού τις > C^2 | τις] + ἀτοπία P^2 | **13** κρυφοῖς C^2 | καὶ ἀτοπία > P^2 | καὶ > C^2P^1 | ἀτοπία] ἄτοπα C^2, ἀμέλεια LP^3 δ | πλὴν ἀλλ'] καὶ C^2 | ἐκ — ἔμπροσθεν > C^2 | πρόσθεν P^2C^1 | **14** ἀπήγαγε P^2 | πως ἔτι > C^2 | ἔτι P^1M ἐπὶ *rell.* | ἐκ — ἐκείνης > M | ἐκείνης > C^2 | καὶ — 15 τέως > C^2 | **15** ποτε *nach* εἰσελθὼν C^2 | **16** εὗρε] + μὲν P^5 | τὸν] + θεόθεν αὐτῷ πεμπόμενον P^5 | ἐπὶ — χορηγούμενον > P^5 | τραπέζης] + τὸν C^1 | θεό//////θεν C^1 | **17** ἀνεκτήσα^{το} τά, το *von derselben oder einer gleichzeit. Hand* L | ἀνεκτήσατο] + ἑαυτόν, ἀλλ' οὐχ ὅσον ἤθελεν (*vgl.* S. 20,17) ὅμως ἐπισχὼν ἑαυτὸν πρὸς τὴν συνήθη εὐχὴν ἐτρέπετο (*vgl.* S. 20,3) P^5 | ἐν νῷ] ἐν νῶ, ν² *von jung. Hd. erg.* P^1, ἐνῶ M, ἐν ὅσω C^2 | τὰς δὲ L | ἀπεβάλλετο $P^2P^1C^1$, ἐξεβάλλετο C^2 | οὐδὲ — 19 κακοῦ > P^5 | **18** σπουδὴν] ψυχὴν C^2 | **19** ἀλλὰ — ἀποπεσεῖν] ἀλλ' ὡς μικρῶν κατεφρόνησεν P^5 | ἀλλὰ] + κατὰ C^2 | ᾠθεῖτο C^2. |

Digitized by Google

51. τοιγαροῦν αὐτὸν ἔρως ἐπιθυμίας ἁρπάσας εἰς τὸν κόσμον ἀπῆγε τοῖς λογισμοῖς. ὅμως ἐπισχὼν ἑαυτὸν τέως εἰς τὴν ἐπιοῦσαν ἡμέραν ἐπὶ τὴν συνήθη τρεπόμενος ἄσκησιν καὶ εὐξάμενος καὶ ὑμνήσας εἰσελθὼν ἐν τῷ σπηλαίῳ τὸν μὲν ἄρτον εὗρεν [ἐν τῇ τραπέζῃ] παρακείμενον, οὐχ οὕτω δὲ ἐπιμελῆ καὶ καθαρόν, ἀλλὰ ἐρρυπωμένον πως ἤδη. καὶ θαυμάσας καί που κατηφὴς γενόμενος, ὅμως μετέσχε καὶ ἀνεκτήσατο. 52. τρίτη νὺξ γέγονε καὶ τριπλάσιον τὸ κακὸν προσετίθετο. καὶ γὰρ θᾶττον ὁ νοῦς αὐτοῦ τοῖς λογισμοῖς ἐγκατέσκηψεν. ἡ μνήμη δὲ αὐτῷ ὡσὰν συμπαρούσης γυναικὸς καὶ συνανακειμένης συνδιετίθετο καὶ τὸ πρᾶγμα ἐν ὀφθαλμοῖς εἶχε καὶ ὡς πράττων αὐτὸ διετέλει. ἐξῆλθε δὲ ὅμως καὶ τὴν τρίτην ἡμέραν ἐπὶ τὸ ἔργον καὶ τὴν εὐχὴν καὶ τοὺς ὕμνους, οὐκέτι καθαρὰς ἔχων τὰς ἐνθυμήσεις, ἀλλὰ πυκνὰ μεταστρεφόμενος μετεωρίζετο τοὺς ὀφθαλμοὺς ὧδε κἀκεῖ ἀκοντίζων. διέτεμνον γὰρ αὐτοῦ τὸ καλὸν ἔργον αἱ μνῆμαι τῶν ἐνθυμήσεων. 53. ἑσπέρας οὖν ἐπανῆλθεν ἄρτου δεόμενος. τὸν δὲ εὗρε μὲν ἐν τῇ τραπέζῃ οἷον ὑπὸ μυῶν ἢ κυνῶν βεβρωμένον καὶ λείψανόν τι τῶν ξηρῶν ἔξωθεν. τότε στένει μὲν καὶ δακρύει, ἀλλ' οὐχ ὅσον ἱκανόν, οὐδὲ ὅσον στεῖλαι τὴν ἀτοπίαν. καὶ ἐτράφη οὐχ ὅσον ἤθελεν, οὐδὲ ὅσον <οἷός τε> ἦν [ἀναπαύσασθαι]. 54. ἐπῆλθαν δὲ αὐτῷ οἱ λογισμοὶ ἀθρόως πάντοθεν αὐτὸν

$P^2C^2P^5P^1C^1MLP^3$ ∂ r a] **1** τοιγαροῦν αὐτὸν > P^5 | αὐτὸν > MLP^3 ∂ | ἔρρω^σ P^3 | ἐπιθυμίας] + τοῦτον P^5 | ἀπήγαγε $P^2C^2P^5$ | **2** λογισμοῖς] λο *m. 1? i. mg.* P^3 | ὅμως — εἰς > P^5 | ὅμως] + δὲ C^2 | εἰς > C^1LP^3 ∂ | τῇ οὖν ἐπιούσῃ P^5 | ἐπιοῦσαν ἡμέραν > C^1 | ἡμέραν — 3 ὑμνήσας > P^5 | **3** τρεφόμενος L, ἐτρέπετο P^2C^2 | εἰς τὸ σπήλαιον P^5 | **4** εὗρε] + ἑαυτῷ P^2, αὐτῷ C^2LP^3 ∂ | ἐν τῇ τραπέζῃ P^5 r a > *rell.* | παρακείμενον > P^5 | οὐχ — 5 ἀλλὰ > r | οὐ P^5 | οὕτω — 5 καὶ > P^5 | οὕτως $C^2P^1C^1L$ | **5** δὴ LP^3 | καθαρὸν] + ὡς τὸ πρότερον P^5 | ἀλλ' C^2 | ρερυπωμένον P^1 ∂, ἐνρύπωμένον P^5 | πως > C^2 | πως ἤδη] καὶ ἠχρειωμένον P^5 | καὶ^1 > P^5 | καὶ^1 — 6 που > C^2 | θαυμάσας] + δὲ P^5 | **6** που] πως LP^3 ∂, > P^2P^5 | κατηφὴς] + δὲ C^2 | γεγονὼς P^5 | ὅμως > P^5 | κατέσχε P^2 | τρίτη] + δὲ C^2 | **7** προσετίθετο] ἐγίνετο $P^2P^1C^1M$ | αὐτῷ P^2LP^3 ∂; > C^2 | **8** ἐκατέσκηψεν P^3 | ἡ > C^2 | αὐτοῦ P^1C^1M | αὐτοῦ] + ἀνήφθη P^1 | παρούσης LP^3 ∂ | **9** συνδιακειμένης C^2 | διετίθετο P^5 | καὶ^2 — 10 διετέλει > P^5 | ἐπ' ὀφθαλμῶν C^2 | **10** πράττον P^1 | αὐτῷ P^1 | δὲ > C^1 | ὁμοίως P^1C^1M | **11** καὶ^1 > C^2 | οὐκέτι] + δε P^5 | καθαρὰ C^1, καθαροὺς C^2 | τὰς ἐνθυμήσεις > C^2 | **12** στρεφόμενος πυκνὰ P^2, π. στρεφόμενος C^2 | ἐμετεωρίζετο P^1C^1M; *statt dessen* καὶ P^5 | ὧδε κἀκεῖ τοὺς ὀφθαλμοὺς C^2 | ἔνθεν κἀκεῖθεν P^5 | κἀκεῖσε P^2 | **13** διέτεμον C^2 | διέτεμνον — ἐνθυμήσεων > P^5 | ἔργον > P^2 | ἐνθυμήσεων P^2C^2, ἐνθυμημάτων P^1C^1M ∂, ἐνθυμιῶν LP^3 | **14** ἐπανελθὼν C^1 r | τῇ > C^1M | **15** οἷον] ἀλλ' ὡς P^5 | ἀπὸ $P^1C^1LP^3$ | μυιῶν C^2P^3 | ἢ κυνῶν > P^5 | τῶν ξηρῶν] ὡς ξηρὸν C^2, [τῶν] ξηρόν? Schw. | ἔξωθεν ξηρῶν P^5 | ἔξωθεν] καταλελειμμένον C^2 | **16** δακρύει] κλαίει P^1 | ἀλλ' > C^2 | οὐκ L | ἱκανὸν] ἐδέετο P^5 | οὐδ' $P^2C^2P^1C^1$ | οὐδὲ — 17 ἀτοπίαν > P^5 | συστεῖλαι P^2, ἐπιστεῖλαι ∂; *über* στεῖλαι *von 1. Hd.* στῆσαι M | **17** καὶ > P^5 | ἐτράφη Schw., τραφεὶς P^2P^1, στραφεὶς *rell.*; + δὲ μικρὸν ἐξ αὐτοῦ P^5, cibum sumit, sed r | οὐχ — 18 [ἀναπαύσασθαι] > P^5 | οὐχ — ὅσον^2] οὐχ οἷός τε P^1C^1 | οὐδὲ ὅσον] ἕτοιμος LP^3 ∂, τοῦ C^2 | ὅσον^2] οὕτως? M | <οἷός τε> Schw. | ἦν > C^2 | **18** ἀναπαύσασθαι] *str.* Schw.; + ὡς δὲ P^1C^1M | ἐπῆλθον P^5C^1M ∂ | οἱ δὲ λογισμοὶ ἐπῆλθον αὐτῷ C^2 | αὐτῷ *nach* λογισμοὶ L, > P^1C^1 | δὲ > $P^5P^1C^1$ | δὲ] αὖθις P^2 | οἱ > P^2 | ἀθρόως > P^5 | αὐτὸν — 21,1 πολεμοῦντες] καὶ πολεμήσαντες P^5. |

Digitized by Google

περιέχοντες καὶ πολεμοῦντες αὐτοῦ τὴν διάνοιαν καὶ εὐθὺς αἰχμάλωτον αἴρουσιν εἰς τὸν κόσμον. ἀναστὰς δὲ ᾤχετο ἐπὶ τὴν οἰκουμένην διὰ τῆς ἐρήμου νυκτοπορῶν. καταλαβούσης δὲ αὐτὸν τῆς ἡμέρας καὶ τῆς οἰκουμένης ἔτι μακρὰν ἀπεχούσης καὶ τοῦ καύματος αὐτὸν θλίβοντος ἐκοπίασεν. κατενόει δὲ πάντοθεν ἑαυτοῦ κύκλῳ περισκοπῶν, εἴ που μοναστήριον ἀναφανείη καὶ εἰσελθὼν ἀναπαύσηται. 55. ὅπερ καὶ γέγονεν, ὑποδεξαμένων αὐτὸν εὐλαβῶν τινων καὶ πιστῶν ἀδελφῶν, οἵ ὡς πατέρα γνήσιον θεασάμενοι ἔνιψαν τὴν ὄψιν αὐτοῦ καὶ τοὺς πόδας καὶ εὐξάμενοι τράπεζαν παραθέντες, τῶν εὑρεθέντων ἠξίουν μετὰ ἀγάπης μεταλαβεῖν. ὡς δὲ ἀνεκτήσατο, ἠξίουν λόγον σωτηρίας αὐτοῖς παρ' αὐτοῦ οἱ ἀδελφοὶ λέγεσθαι καί, οἵαις μεθοδείαις δύναιντο σωθῆναι ἐκ τῆς τοῦ διαβόλου παγίδος, καὶ ὅπως τῶν αἰσχρῶν λογισμῶν περιγένωνται. 56. ὁ δὲ αὐτοῖς, ὡς πατὴρ τέκνα νουθετῶν, παρῄνει προσκαρτερεῖν ἐν τοῖς πόνοις ὀλίγον ὕστερον εἰς ἀνάπαυσιν πολλὴν μεθισταμένοις, καὶ πολλὰ ἕτερα περὶ ἀσκήσεως αὐτοῖς διαλεγόμενος λίαν ὠφέλησεν. παυσάμενος δὲ τῆς νουθεσίας καὶ μικρὸν ἐν ἑαυτῷ γενόμενος διελογίζετό πως· ‚ἄλλους νουθετῶν αὐτὸς ἀνουθέτητος ἔμεινας'. 57. καὶ συνιδὼν ἑαυτοῦ τὴν ἧτταν δρομαῖος πάλιν ἐπὶ τὴν ἔρημον ἐχώρει ἀποδυρόμενος ἑαυτὸν καὶ λέγων· ‚εἰ μὴ ὅτι κύριος ἐβοήθησέν μοι παρὰ βραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή

16 Cf. Mc. 15,31 c. P. **18** Ps. 93,17.

$P^2C^2P^5P^1C^1MLP^3$ 𝔡 r a] **1** περισχόντες P^2 | πολεμοῦσιν $P^2C^2P^5LP^3$ 𝔡 | καὶ > P^5P^1M | εὐθέως C^2P^5 | **2** κόσμον] + καὶ παραχρῆμα P^5 | καὶ ἀναστὰς (> δὲ) P^2 | δὲ > P^5 | ἐπὶ] εἰς P^2C^2 | διὰ — 3 ἐρήμου > P^5 | **3** νυκτοπορίζων C^2M, νυκτὶ βαδίζων P^2 | ἡμέρας *a. Ras.* P^3 | καὶ τῆς — 4 ἀπεχούσης > P^5 | **5** δὲ > P^5 | ἑαυτοῦ] καὶ C^2 | ἑαυτοῦ — περισκοπῶν > P^5 | **6** φανείη P^5 | καὶ] ἵνα C^2 | ἀναπαύσεται P^5P^1 | **7** αὐτῶν C^2 | τινων ἀδελφῶν εὐλαβῶν P^5 | τινων εὐλαβῶν 𝔡 | καὶ πιστῶν > P^5 | οἵ] + καὶ P^5 | **8** τὰς ὄψεις $P^2P^1C^1M$ | τὴν ὄ. α. καὶ > C^2 | αὐτοῦ *nach* ἔνιψαν P^5M | πόδας] + αὐτοῦ C^2 | καὶ εὐξάμενοι > P^5 | **9** τράπεζαν] + τε P^5; > C^2 | παρατιθέντες P^1C^1M | παραθέντες] + καὶ εὐχῆς γενομένης P^5 | τῶν εὑρεθέντων] *hinter* μεταλαβεῖν P^5; τὰ εὑρεθέντα P^1C^1 | ἠξίουν τὰ εὑρεθέντα M | μετὰ ἀγάπης > C^2P^5 | μεταλαμβάνειν C^1 | **10** ἀνεκτήσατο] + ἑαυτὸν C^2P^5 | ἠξίουν] ἠρώτουν LP^3, ἠρώτων αὐτῶν C^2, ᾔτουν 𝔡 | ἠξίουν — 11 καὶ] παρεκάλεσαν αὐτὸν οἱ ἀδελφοὶ λόγον σρ͞ιας εἰπεῖν πρὸς αὐτοὺς καὶ διδάξαι P^2, παρεκάλουν λόγον ὠφελείας εἰπεῖν αὐτοῖς καὶ P^5 | σωτηρίας λόγον 𝔡 | αὐτοῖς] + εἰπεῖν C^2; > 𝔡 | παρ' — 10 λέγεσθαι > C^2 | οἱ ἀδελφοὶ παρ' αὐτοῦ C^1 | ἀδελφοὶ] + τοῦ P^1 | **11** οἵῳ τρόπῳ P^5 | μεθόδοις $C^2P^1C^1M$ | δύνανται C^2P^5 | τῶν . . . παγίδων P^5 | **12** παγίδος *nach* 11 τῆς P^2 | πῶς C^2LP^3 𝔡 | περιγένονται C^2P^5L | αὐτοῖς > C^2P^5, αὐτοὺς P^1M, *von 1. Hd. aus* αὐτοῖς *corr.* C^1 | **13** ὥσπερ P^2 | παρύνει P^5, ἔλεγε P^2 | **14** πολλὴν > C^2 | μεθισταμένους $C^2P^1C^1M$ | καὶ — ἕτερα] ὡς δὲ καὶ ἄλλα πολλὰ P^5 | πολλὰ] + τε P^1 | **15** αὐτοῖς διαλεγόμενος] εἰπὼν P^5 | διαλεχθεὶς M | λίαν] + τούτοις P^5 | παυσάμενος — 16 καὶ > P^5 | νουθετήσεως ML, νουθετίσεως *aus* νουθεσίας *corr.*? P^3 | **16** μικρὸν — γενόμενος] εἰς ἑαυτὸν ἐλθὼν P^5 | **17** ἔμεινεν $P^2C^2P^5P^1C^1M$ | συνειδὼς P^1C^1M, συγγνοὺς C^2 | τὴν ἑαυτοῦ ἧτταν P^2 | δρομέως P^1L | **18** πάλιν *nach* ἔρημον P^5P^1, C^1 *i. ras. m. 1*; *nach* ἀνεχώρει P^2 | ἀνεχώρει P^2. |

Digitized by Google

μου καὶ παρ' ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ, παρὰ μικρὸν συνετέλεσάν με ἐν τῇ γῇ' · καὶ γέγονεν ἐπ' αὐτῷ τὸ εἰρημένον· ‚ἀδελφὸς ὑπ' ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρὰ καὶ ὡς τεῖχος ἄπτωτον'. 58. καὶ ἐκεῖθεν λοιπὸν πενθῶν διετέλει πάντα τὸν βίον τὴν θεόθεν τράπεζαν ζημιωθεὶς καὶ μετὰ καμάτου τὸν ἄρτον ἑαυτοῦ ποριζόμενος. καθείρξας γὰρ ἑαυτὸν ἐν τῷ σπηλαίῳ καὶ σάκκον καὶ σποδὸν ἑαυτῷ ὑποστρώσας οὐ πρότερον ἀνέστη χαμόθεν οὐδὲ ἐπαύσατο ἀποδυρόμενος, πρὶν φωνῆς ἀκοῦσαι ἀγγέλου πρὸς αὐτὸν λέγοντος κατ' ὄναρ· ‚ἐδέξατο ὁ θεὸς τὴν μετάνοιάν σου καὶ ἐλέησέν σε· καὶ τοῦ λοιποῦ ὅρα μὴ ἀπατηθῇς. ἐλεύσονται δὲ οἱ ἀδελφοὶ παρακαλοῦντές σε, οὓς σὺ ἐνουθέτησας καὶ κομιοῦσίν σοι εὐλογίας, ἃς ὑποδεξάμενος μεταλήψῃ σὺν αὐτοῖς καὶ τῷ θεῷ διὰ παντὸς εὐχαριστήσεις.'

59. Ταῦτα οὖν, ὦ τέκνα, ὑμῖν ὑφηγησάμην, ἵνα τὴν ταπεινοφροσύνην πρῶτον ἀσκήσητε, κἂν ἐν μικροῖς, κἂν ἐν μεγάλοις δόξητε εἶναι — αὕτη γάρ ἐστιν ἡ πρώτη τοῦ σωτῆρος ἐντολὴ λέγοντος· ‚μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν' — καὶ ἵνα μὴ ἀπατηθῆτε ὑπὸ τῶν δαιμόνων τὰς φαντασίας ὑμῖν ἐγειρόντων. 60. ἀλλ' ἐάν τις ἔλθῃ πρὸς ὑμᾶς ἀδελφὸς ἢ φίλος ἢ ἀδελφὴ ἢ γυνὴ ἢ πατὴρ ἢ μήτηρ ἢ διδάσκαλος ἢ παῖς ἢ οἰκέτης, πρῶτον εἰς προσευχὴν τὰς χεῖρας ἐκτείνατε, καὶ ἐὰν ᾖ φάντασμα, φεύξεται ἀφ' ὑμῶν. κἂν ἀπατῶσιν ὑμᾶς οἱ δαίμονες ἢ οἱ ἄνθρωποι κολακεύοντες ὑμᾶς καὶ ἐπαινοῦντες, μὴ πείθεσθε αὐτοῖς μηδὲ ἐπαίρεσθε τῇ διανοίᾳ. 61. κἀμὲ γὰρ οὕτως πολλάκις ἠπάτησαν

1 Prov. 5,14. Ps. 118,87. **2** Prov. 18,19. **5** Cf. Gn. 3,17.19. **6** Cf. Is. 58,5. **15** Mt. 5,3.

$P^2C^2P^5P^1C^1MLP^3$ ϑ r a] **1** καὶ > P^5 | ἐγενόμην — κακῷ] ἐξεχύθη τὰ διαβήματά μου P^5 | κακῷ] + καὶ P^1M | **2** καὶ — 3 ἄπτωτον > P^5 | **3** ἰσχυρὰ ϑ | τεῖχος] πίχος *corr. zu* τεῖχος *v. jg. Hd.* P^2 | **4** κἀκεῖθεν C^2C^1, > P^5 | καὶ] + τότε LP^3 ϑ, τὸ P^2 | πενθῶν > P^1 | διετέλει πενθῶν P^5C^1M | πάντα — βίον > P^5 | βίον] + αὐτοῦ C^1 | **5** θεόθεν] + χορηγουμένην P^5 | ἑαυτοῦ ἄρτον P^2C^2 | προσποριζόμενος P^2 | ἑαυτῷ > ϑ | **7** ἔστη C^2 | ὀδυρόμενος C^2, τῶν ὀδυρμῶν P^5 | πρὶν] ἕως ϑ | **8** ἀγγέλου ἀκοῦσαι P^1C^1M | λέγοντος πρὸς αὐτὸν LP^3 ϑ | πρὸς αὐτὸν] αὐτῷ M | λέγοντος *nach* ὄναρ C^2 | κατ' ὄναρ > P^5 | **9** ἠλέησαι, *von 1. Hd.(?) in* ἠλέησει *corr.* P^2 | σε] σου ϑ | ὅρα τοῦ λοιποῦ M | ἀπατηθεὶς P^1 | **10** ἀδελφοὶ] + πρός σε ϑ | συ] σοι P^3 | **11** ἃς] οὓς C^2 | μεταλήψεις P^3 | **12** διὰ παντὸς > r | εὐχαριστήσεις διὰ παντὸς C^2 | **13** ὑμῖν] *nach* ὑφηγησάμην P^2; > P^1 | ταπείνωσιν P^2 | **14** πρώτην P^2LP^3 ϑ, πρὸ πάντων P^5 | ἀσκήσωμεν P^5 | κἂν¹ — εἶναι > P^5 | κἂν ἐν μικροῖς > LP^3 ϑ | εἶναι] + κατορθώμασιν C^2 | **15** ἐντολὴ τοῦ $\overline{\text{σρς}}$ P^2P^5 | **16** τῷ] τὸ P^5 | **17** τὰς — 18 ἀλλ' > P^5 | τὰς] τῶν P^1C^1M | ἡμῖν L | ἐπεγειρόντων ὑμῖν C^2, ὑ. ἐπεγειρόντων P^2 | **18** ἔλθῃ] ἥκῃ C^2, ἥξῃ P^5 | ὑμᾶς] + ἢ P^2M | ἀδελφὸς πρὸς ὑμᾶς P^5 | ἢ ἀδελφὴ *hinter* 19 πατὴρ P^2, *hinter* μήτηρ C^2 | φίλος] *perg.* ἢ παῖς ἢ γυνὴ ἢ πρεσβύτης ἢ πατὴρ ἢ διδάσκαλος ἢ μήτηρ ἢ ἀδελφὴ ἢ οἰκέτης C^2 | ἢ πατὴρ — 19 διδάσκαλος] ἢ πρεσβύτης P^5 | **19** ἢ διδάσκαλος *hinter* πατὴρ P^1M; > P^2 | οἰκέτης] προσῆκον P^5 | πρῶτον > P^1 | εὐχὴν P^5 | **20** φαντασία P^5 | ἀφ'] ἐξ P^2 | καὶ ἐὰν C^2 | ἡμᾶς L | **21** ἢ — ἄνθρωποι > C^2 | ἢ] + καὶ C^2L | ἡμᾶς L | ὑμᾶς καὶ] ἢ C^2 | **22** μηδὲ] καὶ P^2 | τῇ] ἐν P^5 | πολλάκις *hinter* 23,1 δαίμονες P^1C^1M; > C^2P^5. |

Digitized by Google

οἱ δαίμονες ἐν νυκτί, καὶ οὔτε εὔξασθαί με οὔτε ἀναπαύσασθαι συνεχώρησαν, φαντασίας μοί τινας παρέχοντες ὅλην τὴν νύκτα. καὶ πρωὶ ἐμπαίζοντες προσέπεσάν μοι λέγοντες· ‚συγχώρησον ἡμῖν, ἀββᾶ, ὅτι κόπους σοι παρεσχήκαμεν ὅλην τὴν νύκτα'. ἐγὼ δὲ εἶπον πρὸς αὐτούς· ‚ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· οὐ γὰρ μὴ ἐκπειράσητε δοῦλον κυρίου.'

62. Ὥστε οὖν καὶ ὑμεῖς, ὦ τέκνα, τὴν ἡσυχίαν μεταδιώξατε πρὸς τὴν θεωρίαν ἀεὶ γυμναζόμενοι, ἵνα καθαρὸν κτήσησθε νοῦν τῷ θεῷ προσευχόμενοι. καλὸς μὲν γὰρ κἀκεῖνος ὁ ἀσκητὴς ὁ συνεχῶς ἐν τῷ κόσμῳ γυμναζόμενος καὶ περὶ τὰς καλὰς πράξεις ἀσχολούμενος, ὁ τὴν φιλαδελφίαν ἐπιδεικνύμενος καὶ τὴν φιλοξενίαν καὶ τὴν ἀγάπην καὶ ἐλεημοσύνας διαπραττόμενος καὶ εὐεργετῶν τοὺς παρόντας καὶ τοῖς κάμνουσι βοηθῶν καὶ ἀσκανδάλιστος διαμένων. 63. καλὸς μὲν οὗτος καὶ πάνυ καλός. πρακτικὸς γὰρ καὶ ἐργάτης ἐστὶ τῶν ἐντολῶν, ἀλλὰ περὶ τὰ γήινα ἀσχολεῖται. κρείττων γε μὴν τούτου καὶ μείζων ὁ θεωρητικὸς ἐκεῖνος ὁ ἀπὸ τῶν πρακτικῶν ἐπὶ τὴν νόησιν ἀναδραμὼν παρεὶς ἑτέροις ταῦτα φροντίζειν, αὐτὸς δὲ καὶ ἑαυτὸν ἀπαρνησάμενος καὶ ἑαυτοῦ λήθην ἔχων πολυπραγμονεῖ τὰ οὐράνια εὔλυτος πάντων τῷ θεῷ παριστάμενος, ὑπ' οὐδεμιᾶς φροντίδος ἑτέρας ὄπισθεν κατασπώμενος. ὁ τοιοῦτος γὰρ θεῷ συνδιάγει, θεῷ συμπολιτεύεται, ἀπαύστοις ὕμνοις ἀεὶ ὑμνῶν τὸν θεόν.'

---

4 Ps. 6,8. (Mt. 7,23.) **5** woher? cf. c. XXVIII 3. **10** Cf. Rö. 12,9 ff. (Hebr. 13,2). **14** Cf. 2 Tim. 2,15.

$P^2C^2P^5P^1C^1MLP^3$ ꝺ r a] **1** οὔτε^1] οὐδὲ P^1M | με — ἀναπαύσασθαι > P^5 | οὔτε^2] οὐδὲ P^1M | συνεχώρησαν] σ^1 *a. Ras.* (*aus* με?) L, συνεχώρουν ꝺ | **2** τινας > P^5 | ἐμπαίζοντες] + μοι P^2P^5 | **3** προσέπεσον P^1, προσέπιπτον P^5M, παρέπεσαν ꝺ | ἔλεγον προσπίπτοντές μοι C^2 | μοι > P^2P^5 | ἡμῖν] η *a. Ras.* P^3 | **4** παρέχομεν (σ übergeschrieben) *corr. m. 1?* L, παρέσχομεν $P^2P^5P^3$ ꝺ | ὅλην — νύκτα > C^2P^5 | **5** οὐ — 6 κυρίου > P^5 | οὐ γὰρ μὴ] μὴ γὰρ M | **6** κυρίου] θῦ P^1C^1M | **7** ὑμεῖς] υ *a. Ras. aus* η? L, ἡμεῖς ἀδελφοὶ P^5 | ὦ > C^2 | τέκνα (ὦ τ.) *nach* οὖν $P^2C^2LP^3$ ꝺ | ὦ τέκνα > P^5 | τὴν > P^2 | ἡσυχίαν] ταπεινοφροσύνην P^5 | διώξατε P^5 | πρὸς — 8 προσευχόμενοι] αὕτη γὰρ μετ' εὐχῆς καὶ θεωρίας ἐν ἡσυχίᾳ πνικῇ αὐτῷ τῷ θῷ παρίστησιν. ὁ δὲ τῷ θῷ παριστάμενος ὑπ' οὐδεμιᾶς ἄλλης κατασπᾶται φροντίδος P^5 | **8** ἀεὶ > C^2 | νοῦν κτήσησθε $P^2P^5LP^3$ ꝺ | κτήσησθε] + τὸν C^2 | θεῷ] κῷ P^2 | **9** γὰρ > C^2P^1; + ἐστι C^1 | ἐκεῖνος $P^2P^5P^1$ | ὁ ἀσκητὴς > r | συνεχῶς — 10 καὶ > P^5 | ἐν > C^2 | ἐγγυμναζόμενος C^2 | **10** ἐπασχολούμενος C^2LP^3 ꝺ | ὁ] καὶ C^2P^5 | φιλανθρωπίαν P^5 | **11** τὴν > MLP^3 ꝺ | καὶ^3] + τὴν C^2 | ἐλεημοσύνην $C^2P^5P^1M$ | **12** παρόντας] δεομένους P^5 | καὶ^2 — 13 διαμένων > P^5 | **13** μὲν] + καὶ C^2 | καὶ > C^1 | καλός^2 > C^2 | **14** γὰρ] + ἐστὶ C^2P^5, οὗτος ꝺ | καὶ > P^2 | ἐστὶ > C^2P^5 | τῶν > P^1 | ἀλλὰ — ἀσχολεῖται > P^5M | κρεῖττον C^1P^3 | **15** τούτων P^5M, τοιούτου L, > P^2 | καὶ μείζων > C^2 | ἐκεῖνος ὁ] ἐστὶν P^5, > C^2 | ὁ] καὶ P^2, > C^2 | **16** παρεὶς — δὲ > C^2 | παρεὶς — 17 ἔχων] πάντων γὰρ ἐπιλαθόμενος τῶν ἐπὶ γῆς καὶ ἑαυτὸν ἀρνησάμενος P^5 | παρεὶς ἑτέροις] παριστέροις, *corr. v. j. Hd.* P^1 | **18** ἔκλυτος LP^3, ἀΰλως P^5, *mehr als alle* a | εὔλυτος] + ἀπὸ C^2 | πάντων > P^5 | τῷ] ὑπάρχων C^2 | ἑτέρας ὄπισθεν > C^2P^5 | **19** γὰρ > C^2 | σὺν θεῷ διάγει P^1C^1M, σὺν θεῷ πολιτεύεται P^2 | συνάγει P^3 ꝺ, συνδιάγειν L | **20** ἀπαύστως C^2 | ὕμνοις ἀεὶ > C^2 | ὕμνοις] εὐχαῖς P^5 | ἀεὶ] *hinter* θεὸν P^5; > P^2C^1M | ὑμνῶν — θεόν] αὐτὸν ἀνυμνῶν P^2 τὸν θ. ἀνυμνῶν M | τὸν > ꝺ. |

Digitized by Google

64. Ταῦτα δὲ καὶ ἄλλα πάμπολλα ἡμῖν διηγούμενος ὁ μακάριος Ἰωάννης ἐπὶ τρεῖς ἡμέρας ἄχρις ἐννάτης ὥρας διαλεγόμενος τὰς ψυχὰς ἡμῶν ἐθεράπευσεν. δοὺς δὲ ἡμῖν εὐλογίας ἐν εἰρήνῃ πορευθῆναι προσέταξεν, εἰπὼν ἡμῖν καὶ προφητείαν τινά, ὅτι· ‚σήμερον τὰ ἐπινίκια τοῦ εὐσεβοῦς βασιλέως Θεοδοσίου εἰς τὴν Ἀλεξάνδρειαν εἰσεληλύθασι τῆς τοῦ τυράννου Εὐγενίου ἀναιρέσεως‘, καὶ ὅτι· ‚δεῖ τὸν βασιλέα οἰκείῳ θανάτῳ τελευτῆσαι.‘ ἅπερ συνέβη κατὰ ἀλήθειαν οὕτω γενέσθαι.

65. Ὡς δὲ πολλοὺς καὶ ἄλλους πατέρας ἐθεασάμεθα, ἥκασιν ἀδελφοὶ ἀπαγγέλλοντες ἡμῖν τετελειῶσθαι τὸν μακάριον Ἰωάννην θαυμαστόν τινα τρόπον· ἐντειλάμενος γὰρ ἐπὶ τρεῖς ἡμέρας μηδένα συγχωρεῖν πρὸς αὐτὸν ἀνιέναι, κλίνας τὰ γόνατα εἰς προσευχὴν ἐτελειώθη πρὸς θεὸν ἀπερχόμενος· Ὧι δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

II. Περὶ τοῦ ἀββᾶ Ὢρ.

1. Ἐθεασάμεθα δὲ καὶ ἕτερον ἄνδρα θαυμαστὸν ἐν Θηβαΐδι, ἀββᾶ Ὢρ ὄνομα αὐτῷ, πατέρα μοναστηρίων ἀδελφῶν χιλίων, σχῆμα μὲν ἔχοντα ἀγγελικόν, ἐνενηκονταετῆ που ὄντα, γένειον ἔχοντα ἄχρι τοῦ στήθους· λαμπρὸν ἄγαν καὶ φαιδρὸν τῷ προσώπῳ, ὡς καὶ ὁρώμενον αὐτὸ μόνον δυσωπηθῆναι τὸν ἄνδρα. 2. οὗτος πολλὰ πρότερον καθ' ἑαυτὸν ἐν τῇ ἐρήμῳ ἀσκήσας τῇ πορρωτέρᾳ, ὕστερον ἐν τῇ πλησίον ἐρήμῳ τὰ μοναστήρια

1 ταῦτα δὲ καὶ κτλ.] Col. 1130 D *δ*. **13** c. 2 r. Cf. c. 9 *δ*. Sozom., h. e. VI 28,2: καὶ Ὢρ, ὃς ἐκ νέου διέτριβεν ἐν ἐρήμοις, ἀεὶ τὸ θεῖον ὑμνῶν· ἐτρέφετο δὲ βοτάναις καὶ ῥίζαις τισίν· ὕδωρ δὲ ἔπινεν, εἴ πη εὗρεν. ἐπεὶ δὲ γέρων ἦν, κατὰ θείαν πρόσταξιν μετοικισθεὶς εἰς Θηβαΐδα πλείστων ἡγεῖτο μοναστηρίων, οὐδ' αὐτὸς θείων πράξεων ἀμοιρῶν. μόνον γὰρ εὐχόμενος νόσους καὶ δαίμονας ἤλαυνεν. καὶ γράμματα μὴ μαθὼν οὐκ ἐδεῖτο βιβλίων εἰς ἀνάμνησιν· ἀλλὰ πᾶν, ὅπερ ἔλαβεν εἰς νοῦν, κρεῖττον λήθης ἐτύγχανεν. — Cf. *J. B. Cotelerius*, Eccl. Graec. monum. III, p. 159.

$P^2C^2P^5P^1C^1MLP^3$ *δ* r a] **1** δὲ] τε LP^3, > C^2P^5 *δ* | πάμπολλα] παμ *m. 1 s. l.* L; πολλὰ P^5 | διηγούμενος ἡμῖν C^2P^5 | διηγούμενος] διαλεγόμενος P^2 | **2** ἄχρις — διαλεγόμενος > r | ἄχρις] ἕως LP^3 *δ* | ἐνάτης P^1M | διαλεγόμενος] διηγούμενος P^2; + μεγάλως P^5 | ἐθεράπευεν P^1M | **4** τινα > C^2P^5 | εὐσεβεστάτου C^2P^5 | εὐσεβοῦς θεοδοσίου τοῦ βασιλέως P^2 | **5** τὴν > P^2 | εἰσεληλύθασι] + κατὰ *δ* | **6** καὶ ὅτι — 7 γενέσθαι > P^5 | οἰκείῳ] ἰδίῳ P^1M | τελευτῆσαι *aus* τελευτήσει P^3 | ὅπερ καὶ P^2 | **8** ὡς — 10 τρόπον] ἐν δὲ τὸ μέλλειν τελευτᾶν τὸν μακάριον ἰωάννην P^5 | ἤκουσιν? Schw. | **9** ἀναγγέλλοντες P^1C^1M | τελειοῦσθαι C^2, τελειῶσθαι C^1ML, τετελειῶσθε P^3 | θαυμαστῷ τινι τρόπῳ P^2M | **10** γὰρ] + φησι τινὲς ἀδελφοὶ ἀπήγγειλαν ἡμῖν ὅτι P^5 | ἐπὶ — ἡμέρας *hinter* συγχωρεῖν M | τρισί τε ἡμέραις P^5 | συγχωρεῖν > P^5 | **11** πρὸς] + τὸν C^2 | θεὸν] + ἐν παρρησίᾳ P^2 | ἀπερχόμενος] ἐκδημήσας P^5 | **12** Ὧι — Ἀμήν > C^1LP^3 | αἰῶνας] + τῶν αἰώνων P^5. |

13 $P^2P^1C^1$ r a] τοῦ > C^1 | Apo!or a | **14** δὲ > P^1 | **15** ὄνομα αὐτῷ] ὀνόματι P^2 | μοναστήρια P^2, μοναστηρίων πολλῶν r a | ὡς ἀ. χ. a, > r | μὲν > P^2 | **16** ἐνενηκονταετῆ] + πέρι P^2 | γένειον — λαμπρὸν ἄγαν P^2 a, ἄχρι τοῦ στήθους ἔχοντα λαμπρὸν πώγωνα (πώγονα C^1) P^1C^1 | **17** φαιδρὸν τῷ προσώπῳ καὶ λαμπρὸν ἄγαν a | αὐτὸ μόνον Schw., αὐτὸν μόνον C^1, μόνον αὐτὸν *rell.*, > P^2 | **18** δυσωπήσιμον εἶναι P^2 | **19** ἀσκήσας ἐν τῇ ἐρήμῳ P^2 | πλησίον] uicino urbi r. |

Digitized by Google

συνεκρότησεν, ἄλσος φυτεύσας χερσὶν οἰκείαις ξύλων ἀγρίων ὄντων ἐν τῷ τόπῳ, ὡς ὕλην εἶναι ἐν τῇ ἐρήμῳ πολλήν. 3. ἔλεγον γὰρ ἡμῖν οἱ περὶ αὐτὸν πατέρες, ὅτι οὐδὲ βλαστὸς εἷς ἦν ὧδε, ὅτε τὸ πρὶν ὁ ἀνὴρ ἐκ τῆς ἐρήμου παρεγένετο. ἐφύτευσε δὲ τοῦτο, ἵνα μὴ διά τινα χρείαν οἱ συνερχόμενοι πρὸς αὐτὸν ἀδελφοὶ ἀναγκασθῶσι περιάγειν· ἀλλὰ πᾶσαν πρόνοιαν αὐτῶν ἐποιεῖτο εὐχόμενος τῷ θεῷ καὶ ὑπὲρ τῆς σωτηρίας αὐτῶν ἀγωνιζόμενος, ἵνα ἐν μηδενὶ λείπωνται τῶν ἀναγκαίων καὶ μὴ πρόφασις αὐτοῖς ῥαθυμίας γένηταί τις. 4. οὗτος ἐν τῇ ἐρήμῳ πρῶτον διάγων ἤσθιε βοτάνας καὶ ῥίζας τινὰς γλυκείας, ἔπινε δὲ ὕδωρ, ὅτε καὶ ηὕρισκεν, ἐν εὐχαῖς καὶ ὕμνοις διατελῶν πάντα τὸν χρόνον. ὡς δὲ λοιπὸν εἰς τὴν τελείαν τοῦ γήρως ἔφθασεν ἡλικίαν, ἄγγελος αὐτῷ φαίνεται κατ' ὄναρ ἐν τῇ ἐρήμῳ λέγων, ὅτι· ‚ἔσῃ εἰς ἔθνος μέγα καὶ πολὺν λαὸν πιστευθήσῃ. ἔσονται δὲ οἱ σωζόμενοι διά σου μυριάδες δέκα. ὅσους γὰρ ἂν ἐνταῦθα κερδήσῃς, τοσούτων ἄρξεις ἐν τῷ αἰῶνι τῷ μέλλοντι. καὶ μηδὲν διστάσῃς, φησὶν ὁ ἄγγελος πρὸς αὐτόν, οὐδέποτε γάρ σοι λείψει τὰ πρὸς τὴν χρείαν ἄχρι τῆς τελευτῆς, ὁσάκις ἂν ἐπικαλέσῃ τὸν θεόν.‘ 5. ταῦτα ἀκούσας ἐπὶ τὴν πλησίον ἔρημον ὥρμησε καταμόνας πρῶτον διάγων, καλύβιον μικρόν τι ἑαυτῷ κατασκευάσας, λαχάνοις συνθέτοις μόνον ἀρκούμενος, πολλάκις καὶ δι' ἑβδομάδος ἅπαξ μεταλαμβάνων. ἀγράμματος μὲν ἦν τὸ πρῶτον· ἐπεὶ δὲ ἐκ τῆς ἐρήμου εἰς τὴν οἰκουμένην ἤρχετο, χάρις αὐτῷ θεόθεν δίδοται καὶ τὰς γραφὰς ἔξωθεν ἀπεστήθιζεν. ἐπιδοθέντος γὰρ αὐτῷ βιβλίου παρὰ τῶν ἀδελφῶν, ὡς ἔμπειρος τῶν γραφῶν, οὕτω λοιπὸν ἀνεγίνωσκεν. 6. εἰλήφει δὲ καὶ ἑτέραν χάριν τὴν κατὰ τῶν δαιμόνων ἐλασίαν, ὡς πολλοὺς τῶν πασχόντων καὶ μὴ βουλομένους παριστάναι. βοώντων <δ'> αὐτοῦ τὴν πολιτείαν ἰάσεις τε τὰς ἄλλας πολλὰς <δυνάμεις> ἐπιτελῶν οὐκ ἐπαύετο, ὡς συναχθῆναι πανταχόθεν πρὸς αὐτὸν μοναχοὺς καὶ εἰς χιλιάδας [συνάγεσθαι].

7. Ἰδὼν οὖν ἡμᾶς ὁ ἀνὴρ καὶ περιχαρὴς γενόμενος ἠσπάσατο καὶ

12 Cf. Gn. 46,3.

$P^2P^1C^1$ r a] **1** ἄλσος Schw., ἕλος O | ξύλον ἄγριον C^1 | ὄντων > P^2C^1 | **2** εἶναι ὕλην P^2 | πολλοὺς P^2, πυκνὴν P^1 | γὰρ > P^1 | **3** εἷς > P^2 | ὧδε] + ποτε P^2 | τὸ πρὶν > P^1 | **4** ταῦτα P^2 | **6** καὶ > C^1 | **7** ἐν > P^2 | λείπονται P^1C^1 | **8** τις *hinter* ῥαθυμίας C^1 | τις] τι P^2 | οὕτως P^1, > P^2 | ἐρήμῳ] + μὲν οὖν P^2 | τὰ πρῶτα P^2 | **9** τινας > P^2C^1 | καὶ^2 > P^2 r | εὗρεν C^1 | **10** χρόνον] + αὐτοῦ P^2 | τὴν > P^2 | **12** ἔσῃ εἰς > P^1 | ἐνπιστευθήσηι P^1 | **13** γὰρ > P^1 | ἐὰν P^1, > P^2 | **14** κερδήσεις P^2 | **15** φησὶν — αὐτόν P^1C^1 a, > P^2 r | **16** ἄχρι — τελευτῆς > r | τῆς] + σῆς P^2 | ὁσάκις] περὶ ὅσων P^2, εἰς ὅσα P^1 | ἀκούσας] + παρὰ τοῦ ἀγγέλου P^2 | **17** διάγων] + ὡς εἴρηται P^2 | τι μικρὸν P^2 | **18** πολλάκις] + δὲ P^2 | **19** ἅπαξ] μόνης P^1 | ἦν *scripsi*, ὢν O (*m. 1. s. l.* C^1) | **20** ἐπειδὴ P^2, ἔπειτα P^1 | εἰς] πρὸς P^2, ἐπὶ C^1 | οἰκουμένην] + ὡς P^1 | **21** ἔξωθεν > P^1 | ἀπεστήθιζεν *aus* ἐπεστήθιζεν C^1 | ἐπιδοθέντος — 22 ἀνεγίνωσκεν > r | **22** ἐμπείρῳ? Schw. | **24** παριστᾶν C^1 | <δ'> Schw. | αὐτοῦ (*aus* αὐτοὺς?) P^1 a, αὐτῶν P^2C^1 | τε] δὲ P^1 | **25** τὰς ἄλλας > P^2 | πολλὰς > P^1C^1 | <δυνάμεις> + Schw. | ἐπιτελῶν. οὐκ a | ὡς > a | **26** πανταχόθεν P^1C^1 a, > P^2 r | καὶ > P^2C^1 a | καὶ εἰς > r | χιλιάδας συνάγεσθαι (+ πρὸς αὐτὸν a)] P^1C^1 a, πλῆθος πολὺ P^2 | συνάγεσθαι *str.* Schw. | **27** γινόμενος P^2P^1 | ἠσπάσατο] + τε P^1.

Digitized by Google

ὑπερηύξατο· νίψας τε τοὺς πόδας ἡμῶν χερσὶν οἰκείαις πρὸς διδασκαλίαν ἐτρέπετο. ἔμπειρος γὰρ ἦν λίαν τῶν γραφῶν θεόθεν ταύτην τὴν χάριν κτησάμενος. πολλὰ δὲ ἡμῖν λύσας τῶν γραφῶν κεφάλαια καὶ τὴν ὀρθόδοξον πίστιν παραδοὺς ἐπὶ τὰς εὐχὰς προετρέπετο. 8. ἔθος γὰρ τοῖς μεγάλοις, μὴ πρότερον τροφὴν προσίεσθαι τῇ σαρκὶ πρὶν ἢ τὴν πνευματικὴν τροφὴν τῇ ψυχῇ παραδοῦναι. τοῦτο δὲ ἐστὶν ἡ τοῦ Χριστοῦ κοινωνία. μεταλαβόντας οὖν ταύτης καὶ εὐχαριστήσαντας ἐπὶ τὴν τράπεζαν προετρέπετο, αὐτός τι ἀεὶ τῶν σπουδαίων ὑπομιμνήσκων καθήμενος καὶ λέγων ἡμῖν· 9. ,οἶδα ἐγώ τινα ἄνθρωπον ἐν τῇ ἐρήμῳ μηδὲν γήϊνον βρῶμα ἐπὶ τρία ἔτη γευσάμενον. ἀλλὰ ἄγγελος αὐτῷ κατὰ τρεῖς ἡμέρας οὐράνιον βρῶμα ἐκόμιζεν, καὶ ἔβαλλεν αὐτοῦ εἰς τὸ στόμα καὶ τοῦτο αὐτῷ ἀντὶ τροφῆς καὶ ποτοῦ ἐγένετο. καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, ὅτι ἦλθον πρὸς αὐτὸν ἐν φαντασίᾳ οἱ δαίμονες ἀγγελικὰς στρατιὰς ἐπιδεικνύντες καὶ ἅρμα πυρὸς καὶ δορυφορίαν πολλήν, οἷά τε βασιλέως ἐπιδημοῦντός τινος καὶ λέγοντος αὐτῷ· ‘κατορθώσας πάντα, ὦ ἄνθρωπε, λοιπὸν προσκύνησόν μοι καὶ ὡς Ἠλίαν σε ἀναλήψομεν.‘ 10. ἔλεγε δὲ ὁ μοναχὸς ἐν τῇ αὐτοῦ διανοίᾳ· ‘καθ’ ἡμέραν προσκυνῶ τῷ ἐμῷ βασιλεῖ καὶ σωτῆρι καὶ εἰ ἦν οὗτος ἐκεῖνος, οὐκ ἂν τοῦτο παρ’ ἐμοῦ ᾔτει.‘ ὡς δὲ μόνον εἶπεν αὐτῷ τὰ τῆς διανοίας, ὅτι· ‘ἔχω τὸν ἐμὸν βασιλέα Χριστόν, ὃν ἀεὶ προσκυνῶ· σὺ δὲ οὐκ εἶ ἐμὸς βασιλεύς’· εὐθὺς ἐκεῖνος ἄφαντος γέγονε.‘ ταῦτα οὖν ἡμῖν ὡς περὶ ἄλλου διαλεγόμενος τὰς ἑαυτοῦ ἀρετὰς κρύπτειν ἠβούλετο. οἱ δὲ συνόντες αὐτῷ πατέρες αὐτὸν ἔλεγον ταῦτα ἑωρακέναι.

11. Ἦν γοῦν τοσοῦτον ὁ ἀνὴρ ἐπίδοξος ἐν πολλοῖς ἄλλοις πατράσιν, ὡς πολλῶν μοναχῶν πρὸς αὐτὸν ἐρχομένων πάντας τοὺς παρόντας ἀδελφοὺς συγκαλούμενος ἐν μιᾷ ἡμέρᾳ τὰ κέλλια αὐτοῖς ἐποίει, τοῦ μὲν πηλὸν ἐπιδιδόντος, τοῦ δὲ πλίνθον, ἄλλου δὲ ὕδωρ ἀντλοῦντος, ἑτέρου δὲ ξύλα κόπτοντος. καὶ ἀποτελεσθέντων αὐτοῖς τῶν κελλίων αὐτὸς τὰς χρείας ἐπήρκει τοῖς ἐρχομένοις.

---

15 Cf. Mt. 4,9. Lc. 4,7. — Cf. regn. δ 2,1.11. **19** Cf. mart. Polyc. 9.

$P^2 P^1 C^1$ r a] **1** ὑπερηύξατο] περιεπτύξατο P^2 | νιψάμενος C^1 | **2** ἔμπειρος — 3 κτησάμενος > P^2 (cf. S. 25,19 ff.) | **3** ἡμῖν τῶν γραφῶν λύσας P^1, τ. γρ. ἡμῖν λύσας P^2 | καὶ — 4 παραδοὺς > r | **4** τοῖς μεγάλοις] αὐτῷ r | μεγάλοις] ἁγίοις P^2 | **5** προίεσθαι τροφὴν P^1 | ἢ > P^2 | **6** ἐπιδοῦναι P^2 | τοῦτο] αὕτη P^2 | ἐστὶν] *hinter* Χριστοῦ P^1; ἦν C^1 | μεταλαβόντες C^1 | **7** εὐχαριστήσαντες C^1 | τι] δὲ P^2 | **8** καὶ λέγων] ἔλεγεν P^2 | οἶδα ἐγώ] εἶδεν P^2 | **9** τρία ἔτη] τραπέζης P^2 | **10** καὶ — 11 στόμα > r | **11** αὐτοῦ *hinter* στόμα P^1 | αὐτῷ] αὐτὸ P^1 | ἐγίνετο P^1 | **13** ἅρματα P^2 | πυρὸς] + πολλὰ P^2 | δωροφορίαν C^1 | **14** οἷαν C^1 | τε > P^2 | βασιλέα ἐπιδημοῦντες r | τινος > P^1 | λέγων τις C^1 | **15** ὦ ἄνθρωπε λοιπὸν > P^1 | λοιπὸν > C^1 | **16** ἑαυτοῦ C^1 | **17** προσκυνῶ] + ἐγὼ C^1 | καὶ[1]] τῷ P^1 | οὕτως P^1 | **18** ᾔτει *vor* τοῦτο P^2 | ἐμοῦ] + τὰ νῦν P^2 | ὅτι] + ἐγὼ P^2 | **19** δὲ] γὰρ P^2 | **20** εὐθέως P^2 | ὡς περὶ] ὥσπερ P^1, ὡς παρὰ P^2 | διαλεγόμενος] + ἔλεγε P^2 | **21** τὰς — ἠβούλετο > r | ἀρετὰς] πολιτείας C^1 | βουλόμενος P^2 | τοσοῦτον Schw., τοιοῦτος O | **24** μοναχῶν *hinter* ἐρχομένων C^1, *davor* P^1 | **25** ἀδελφοὺς] αὐτοῖς C^1, > P^1 | ἐποίει] ποιεῖν P^1 | ἐπιδιδοῦντος $P^1 C^1$ | **26** ἄλλου] τοῦ $P^1 C^1$. |

Digitized by Google

12. Οὗτος ψευδαδέλφου ποτὲ πρὸς αὐτὸν ἐλθόντος καὶ τὰ ἑαυτοῦ ἱμάτια ἀποκρύψαντος ἐλέγξας αὐτὸν ἐπὶ πάντων εἰς μέσον αὐτὰ ἤδη προήνεγκεν, ὥστε μηκέτι τολμᾶν μηδένα ἐπ' αὐτοῦ ψεύσασθαι, τοσαύτην χάριν ἀρετῆς ἔχοντος, ἣν διὰ τῆς πολλῆς καὶ καλῆς πολιτείας ἑαυτῷ συνελέξατο. ἦν δὲ ἰδεῖν τὸ πλῆθος τῶν σὺν αὐτῷ μοναχῶν ἐν τῇ ἐκκλησίᾳ, οἷον χορούς τινας δικαίων λαμπαδοφορούντων καὶ ἀπαύστοις ὕμνοις τὸν θεὸν δοξαζόντων.

III. Περὶ Ἄμμωνος.

1. Ἐθεασάμεθα δὲ ἐν Θηβαΐδι καὶ ἕτερον ἄνδρα, ὀνόματι Ἄμμωνα, πατέρα μοναχῶν τρισχιλίων, οὓς καὶ Ταβεννησιώτας ὠνόμαζον, μεγάλην ἔχοντας πολιτείαν καὶ μηλωτὰς φοροῦντας καὶ κεκαλυμμένῳ προσώπῳ ἐσθίοντας καὶ κάτω νεύοντας, μή τις τὸν ἄλλον θεάσηται μασώμενον, καὶ σιωπὴν ἀσκοῦντας πολλήν, ὡς δοκεῖν ἐν ἐρημίαις εἶναι, ἑκάστου τὴν ἑαυτοῦ πολιτείαν κρυφῇ ἐκτελοῦντος, μόνον δὲ σχήματι καθημένους ἐπὶ τῆς τραπέζης καὶ δοκεῖν ἐσθίειν πειρωμένους λανθάνειν ἀλλήλους. οἱ μὲν γὰρ αὐτῶν ἅπαξ ἢ δεύτερον τῷ στόματι τὴν χεῖρα προσῆγον ἄρτον ἢ ἐλαίας ἤ τι τῶν παρακειμένων ἁψάμενοι, καὶ ἑκάστου προσφαγίου ἅπαξ γευσάμενοι, ἠρκοῦντο τῇ τροφῇ ταύτῃ. 2. ἄλλοι δὲ τὸν ἄρτον ἠρέμα μασώμενοι, ἀπροσποιήτως τε τῶν ἄλλων ἔχοντες, οὕτως ἐνεκαρτέρουν.

---

7 c. 3 r, c. 48 δ. Cf. Sozom. h. e. VI 28,3: περὶ δὲ τοῦτο τὸ κλίμα ἐφιλοσόφει καὶ Ἄμμων ὁ τῶν καλουμένων Ταβεννησιωτῶν ἡγούμενος ἀμφὶ τρισχιλίους μαθητὰς ἔχων. **9** Cf. Palladius, h. Laus. c. 39 sq.

$P^2 P^1 C^1$ r a] **1** οὗτος] τούτω C^1 | ψευδάδελφον P^2 | ψευδαδέλφου] + τινος C^1 | ποτὲ > C^1 | ἐλθόντα πρὸς αὐτὸν P^2 | ἑαυτοῦ] εὑαυτοῦ C^1, > P^1 | **2** ἀποκρύψαντα P^2 | μέσον] + αὐτοῦ P^1 | αὐτὰ — προήνεγκεν] ἔπεισεν ἀγαγεῖν τὰ κακῶς κεκρυμμένα P^2 | αὐτὰ ἤδη Schw., τὰ εἴδη P^1, ταῦτα ἤδη C^1, *die verborgene Ausstaffierung* a | προήνεγκεν Schw., προσήνεγκεν O | **3** ψεύδεσθαι P^2 | **4** αὐτῷ P^2 | **6** τινας χορούς P^2 | λαμπαδοφορούντων Schw., λαμποφορούντων $P^2 P^1$, λαμπροφορούντων C^1 | δοξάζοντας C^1. |

7 $P^2 P^5 P^1 C^1 L P^3$ δ r a] περὶ] + ἀββᾶ $P^2 L P^3$ δ, τοῦ ἀββᾶ P^5 | ἀμμωνᾶ (α² *auf Ras.*) L, P^5 δ; ἀμμωνος P^3, ἀμμῶν P^2 | ἄμμωνος] + καὶ τῶν σὺν αὐτῷ P^5 | **8** δὲ > $L P^3$ δ | καὶ ἕτερον ἄνδρα ἐν θηβαΐδι P^5 | ἀμμωνᾶν $P^2 P^5$ | **9** ἀδελφῶν P^2 | μοναχῶν] + ὡσεὶ $L P^3$ δ | τρεῖς χιλιάδας δ | ταβεννησίους P^2, Tabennesii r, tabenasisn (ταβεννησίους) a | ἐκάλουν P^2 cf. Sozom. h. e. VI 28,3 | **10** καὶ¹ > P^5 | μηλωτὴν P^1 | μηλωτὰς] + τε P^5 | **11** νεύοντας] + ἵνα $P^2 P^5$ | ἄλλον] πλησίον $L P^3$ δ | μασσώμενον P^5, ἐσθίοντα C^1 δ, > $P^2 P^1 L P^3$ | καὶ > P^5 | **12** σιωπὴν] + δὲ τοσαύτην P^5 | πολλὴν > P^5 | δοκεῖ δ | ἐν — 13 ἑαυτοῦ] ἕκαστον ἐν ἐρημίᾳ εἶναι καὶ οὐ μετὰ ἄλλων ἀνθρώπων ἑκάστου τὴν P^5 | ἕκαστον P^1, ἕκαστος $P^2 C^1$ | **13** κρύφα $P^2 L P^3$ δ | ἐκτελοῦντος $P^5 L P^3$ δ, ἐκτελῶν P^2, ποιοῦντας $P^1 C^1$ | δὲ > $P^5 C^1$ | **14** τῆς > $P^1 C^1$ | τὴν τράπεζαν δ | καὶ] ὡς P^2 | δοκεῖν ἐσθίειν > P^5 | ἀλλήλους λανθάνειν πειρωμένους P^5 | πειρωμένους] + δὲ $L P^3$ δ | ἀλλήλοις L | **15** ἢ¹] καὶ $P^1 C^1$ | τῷ στόματι *nach* προσῆγον P^5 | τὴν χεῖρα τῷ στόματι P^2 | προσήγαγον δ | ἄρτου ἢ ἐλαιῶν (ἔλαιον L) $P^5 L P^3$ δ | **16** ἔλαια C^1 | τι] τινος $L P^3$ δ, ἄλλου τινος P^5 | ἀπτόμενοι P^2, ἀράμενοι Schw. | **17** γευόμενοι $P^5 L P^3$ δ | ἄλλοι — 28,2 ὠφέλειαν > r | δὲ > $P^5 P^1$ | **18** τε > $P^2 P^5$ | τῶν ἄλλων ἀπροσποιήτως P^5 | ἐνεκαρτέρουν οὕτως P^5. |

Digitized by Google

ἀλλοὶ δὲ τοῦ ζωμοῦ μόνον τρίτον ἐγεύοντο, ἐνεκρατεύοντο δὲ τῶν ἄλλων. ἅπερ πάντα κατὰ λόγον θαυμάσας οὐ παρῆκα τὴν ἐκ τούτων ὠφέλειαν.

IV. Περὶ ἀββᾶ Βῆ.

1. Εἴδομεν δὲ καὶ ἄλλον πρεσβύτην πραότητι πάντας ἀνθρώπους ὑπερβάλλοντα, ὀνόματι ἀββᾶ Βῆν. περὶ οὗ διεβεβαιοῦντο οἱ περὶ αὐτὸν ἀδελφοί, μηδέποτε ὀμωμοκέναι, μήτε ψεύσασθαί ποτε, μήτε ὀργισθῆναι κατά τινος, μήτε ἐπιπλῆξαι λόγῳ τινὰ πώποτε. ἦν γὰρ ὁ βίος αὐτοῦ λίαν ἡσύχιος καὶ ὁ τρόπος ἐπιεικής, ἀγγελικὴν κατάστασιν ἔχων. 2. ἦν καὶ ταπεινόφρων ἄγαν καὶ ἑαυτὸν εὐτελίζων. πολλὰ γὰρ ἡμῶν παρακαλούντων αὐτὸν εἰπεῖν πρὸς ἡμᾶς προτρεπτικόν τινα λόγον, μόλις ἠνέσχετο περὶ πραότητος ἡμῖν μόνον ὀλίγα διαλεχθῆναι.

3. Οὗτος ἱπποποτάμου ποτὲ λυμηναμένου τὴν γείτονα χώραν ἐπιστὰς τῷ τόπῳ ὑπὸ τῶν γεωργῶν παρακληθεὶς καὶ ἰδὼν τὸ θηρίον ἐξαίσιον μέγεθος ἔχον πραείᾳ φωνῇ ἐνετείλατο αὐτῷ λέγων· ‚παραγγέλλω σοι ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ μηκέτι λυμήνασθαι τὴν χώραν‘. ὁ δὲ ὡς ὑπὸ ἀγγέλου ἀπελασθεὶς τοῦ τόπου παντάπασιν ἀφανὴς γέγονεν. οὕτω καὶ κροκόδειλον ἀπεδίωξεν ἄλλοτε.

---

3 c. 4 r, 49 ϑ. Cf. Sozom. h. e. VI 28,3: καὶ Βῆνος καὶ Θεωνᾶς μοναχικῶν ἡγοῦντο ταγμάτων καὶ θείας προφητείας καὶ προγνώσεως ἔμπλεω .... Βῆνον δὲ παρ' οὐδενός θεαθῆναι ὀργιζόμενον ἢ ὀμνύοντα ἢ ψευδόμενον ἢ εἰκαῖον ἢ θρασὺν ἢ ψλιγορημένον εἰπόντα λόγον.

$P^2P^5P^1C^1LP^3$ ϑ r a] **1** τοῦ — ἐγεύοντο] τρίτον τοῦ ζωμοῦ ἀπογευόμενοι μόνον P^5 | τῶν ζωμῶν P^1, τὸ ζωμόν C^1 | μόνου LP^3 ϑ | ἐγεύοντο τρίτον P^2 | τῶν ἄλλων ἐνεκρατεύοντο P^5 | τὰ ἄλλα P^1C^1 | **2** ἅπερ] + ἐγὼ P^5 | κατὰ λόγον πάντα P^5 | κατὰ λόγον > P^2 | θαυμάσας] + ὡς L | ταύτης P^1C^1 | ὠφέλειαν] + διηγήσασθαι P^5. |

3 $P^2P^5P^1C^1LP^3$ ϑ r a] περὶ] + τοῦ C^1 ϑ | ἀββᾶ > r | *über* apaba a | βῆν P^2, Benus r | **4** πρεσβύτερον P^2 | πραότητι] + καὶ ἀκακίᾳ (κα *m. 2 s. l.*) P^5 | ἀνθρώπους > P^2 | ὑπερβαλλόμενον $P^1C^1LP^3$ ϑ | **5** ἀββᾶ P^3, > r | ὀνόματι] *nach* βῆν LP^3 ϑ, > P^2 | περὶ οὗ] ὃν $P^1C^1LP^3$ ϑ a | αὐτῶν P^5 | **6** ὀμῶσαι L, ὀμόσαι P^3 ϑ | μήτε¹] P^2, μὴ P^1L, μηδὲ C^1P^3 ϑ | ψεύσασθαι (σασ *m. 2*[?] *s. l.*) L, ἐψεῦσθαι P^2 | ποτε > P^5LP^3 ϑ | μήτε² — τινος > P^5 | μήτε ὀργισθῆναι *nach* 7 πώποτε P^2 | μήτε² P^2, μηδὲ *rell.* | **7** μήτε P^2P^5, μηδὲ *rell.* | τινὰ P^5, τινι *rell.* | ποτε P^2P^1L | ἥσυχος P^2 | **8** ἔχων κατάστασιν P^1 | ἔχοντος C^1P^3 ϑ, *aus* ἔχοντας *corr. m. 2?* L | ἦν] + δὲ P^1, γὰρ C^1; > P^2 | ἦν — **9** εὐτελίζων] καὶ ἦθος ταπεινὸν καὶ πάνυ εὐτελὲς P^5 | αὐτὸν] *vor* ἡμῶν ϑ; > P^2 | **10** τινα > P^1C^1 | διαλεχθῆναι ἡμῖν ὀλίγα περὶ πραότητος P^5 | μόνον ἡμῖν P^1 | **11** μόνον > P^2 | **12** ἱπποποτάμου (ἱπποταμοῦ, π² *s. l.* L) ποτὲ] ἐν ποταμῷ θηρός ποτε οἰκοῦντος P^2 | λυμαινομένου P^2 | ἐπιστὰς — 13 τόπῳ > P^2 | **13** τόπῳ] ποταμῷ P^5 | ὑπὲρ P^3 | τῶν] + ἐκεῖσε P^2 | παρακληθεὶς] + ἐπέστη τῷ ποταμῷ P^2 | μέγεθος ἐξαίσιον $P^2P^1C^1$ | **14** ἔχων P^1, ἔχοντα L, κεκτημένον P^2 | πραείᾳ] + τῇ P^5 | ἐνετέλλετο P^3 ϑ, ἐντέλλεται P^5 | αὐτὸ P^2L | ἐν > ϑ | **15** Ἰησοῦ] τοῦ LP^3 ϑ | ὁ] τὸ P^2 | **16** ἀπελαθεὶς P^5, ἐλαθεὶς P^1, ἀπελαθὲν P^2 | ἀφανὲς P^2, ἀφανεὶς P^5 | ἐγένετο P^1C^1 | οὕτω] + δὲ C^1 | οὕτω καὶ] καὶ ἄλλοτε P^5 | **17** κορκόδειλον P^1, κροκόδηλον P^5C^1L | ἄλλοτε > P^5. |

Digitized by Google

V. Περὶ τῆς Ὀξυρύγχου πόλεως.

1. Παρεγενόμεθα δὲ καὶ εἰς Ὀξύρυγχον πόλιν τινὰ τῆς Θηβαΐδος, ἧς οὐκ ἔστιν εἰπεῖν κατ' ἀξίαν τὰ θαύματα. γέμει γὰρ ἔνδοθεν οὕτως μοναστηρίων, ὡς τὰ τείχη ὑπ' αὐτῶν ἐξωθεῖσθαι τῶν μοναχῶν, περιέχεσθαι δὲ ἔξωθεν ἑτέροις μοναστηρίοις, ὡς ἄλλην εἶναι παρὰ ταύτην τὴν ἔξω πόλιν. 2. ἔγεμον δὲ τῆς πόλεως οἱ ναοὶ καὶ τὰ καπετώλια τῶν μοναχῶν καὶ κατὰ πᾶν μέρος τῆς πόλεως ᾤκουν οἱ μοναχοί. 3. δεκαδύο δὲ εἰσὶν ἐν αὐτῇ ἐκκλησίαι, μεγίστης οὔσης τῆς πόλεως, ἐν αἷς οἱ ὄχλοι συνάγονται· τὰ γὰρ τῶν μοναχῶν εὐκτήρια καθ' ἕκαστον ἦν μοναστήριον καὶ σχεδὸν πλείους ἦσαν οἱ μοναχοὶ ὑπὲρ τοὺς κοσμικοὺς πολίτας κατὰ πάσας τὰς εἰσόδους τῆς πόλεως καὶ ἐν τοῖς πύργοις τῶν πυλῶν καταμένοντες. 4. πεντακισχίλιοι γὰρ μοναχοὶ ἐλέγοντο εἶναι ἔνδοθεν, τοσοῦτοι καὶ οἱ ἔξωθεν αὐτὴν περιέχοντες. καὶ οὐκ ἦν ὥρα ἡμερινὴ οὐδὲ νυκτερινή, ἐν ᾗ τὰς λατρείας οὐκ ἐπετέλουν τῷ θεῷ· ἀλλὰ γὰρ οὐδὲ εἷς ἦν οἰκήτωρ αἱρετικὸς οὐδὲ ἐθνικὸς ἐν τῇ πόλει, ἀλλὰ πάντες ὁμοῦ οἱ πολῖται πιστοὶ καὶ κατηχούμενοι, ὡς δύνασθαι δοῦναι τὸν ἐπίσκοπον ἐν τῇ πλατείᾳ εἰρήνην τῷ λαῷ. 5. οἱ δὲ στρατηγοὶ αὐτῶν καὶ ἄρχοντες, οἱ τὰς φιλοτιμίας τοῖς δήμοις παρέχοντες, κατὰ τὰς πύλας καὶ τὰς εἰσόδους σκοποὺς ἔστησαν πρὸς τό, εἰ ξένος τις πενόμενος φανείη, ἀχθῆναι πρὸς αὐτοὺς ληψόμενον πρὸς παραμυθίαν ἀναλώματα. καὶ τί ἂν τις εἴποι τὴν εὐλάβειαν τῶν δήμων ὁρώντων ἡμᾶς τοὺς ξένους διὰ τῆς ἀγορᾶς παριόντας καὶ ὥσπερ ἀγγέλοις ἡμῖν προσιόντων; τί δὲ τὸ πλῆθος ἐξείποι τις τῶν μοναχῶν καὶ παρθένων ἀναριθμήτου ὄντος;

---

1 c. 5 r. Cf. *J. B. Cotelerius*, Ecclesiae Graecae monumenta III, 175 sq.

---

1 P^2 (*hinter c. 23*); $P^5P^1C^1LP^3$ r a] περὶ — πόλεως] περὶ τῶν ἐν Ὀξυρύγχῳ πολιτευομένων πατέρων a; > P^5 | τῆς > P^1C^1 | ὀξυρίγχου P^2L, ἐξορύγχου C^1 | **2** δὲ > P^1C^1L | ἐν C^1 | ὀξύριγχον P^2L | τινα (να *a. Ras.* L) πόλιν LP^3 | τῆς > P^1C^1 | **3** οὕτως ἔνδοθεν $P^2P^1C^1$ | **4** ὥστε P^2 | ὡς] + καὶ P^5 | ὑπ'] ἐξ P^2 | ὑπ' αὐτῶν *nach* ἐξωθεῖσθαι P^1C^1; > P^5 a | ἐξηχεῖσθαι P^1C^1, πεπληρῶσθαι P^5 | τῶν > P^5 | δὲ] + καὶ P^5; > C^1 | περιέχεσθαι Schw., περιέχεται O | **5** μοναστηρίοις ἑτέροις P^1 | παρ' αὐτὴν $P^2P^1C^1$ | ἔγεμον — 7 μοναχοί > P^5 | **6** καπιτώλια C^1 | τῶν *str.* Schw. | **7** οἱ > P^2 | οἱ μοναχοὶ ᾤκουν C^1 | δὲ P^5, γὰρ *rell.* | αὐτῇ] τῇ πόλει P^5 | **9** ἑκάστην P^5, ἑαυτῶν P^2 | **10** κατὰ — 11 καταμένοντες > P^5 | πάσας > P^1C^1 | τὰς > P^2 | **11** πεντακισχίλιοι] + μὲν LP^3 | **12** ἔνδοθεν] + καὶ P^1 | καὶ οἱ] δ' ἄλλοι $P^2P^1C^1$, δὲ LP^3 | αὐτὴν ἔξωθεν LP^3 | **13** οὐδὲ νυκτερινὴ > P^5 | τὰς λατρείας *hinter* 14 θεῷ L | τῷ > P^1C^1 | **14** γὰρ > LP^3 | ἀλλὰ — ἦν] οὐκ ἔστιν δὲ ἐν ταύτῃ τῇ πόλει P^5 | οὐδεὶς P^1C^1 | οἰκήτωρ] + ἢ P^5 | ἐν — πόλει > P^5 | **15** κατηχούμενοι] ὀρθόδοξοι P^5 | **16** δοῦναι — λαῷ] καὶ ἐν τῇ πλατείᾳ τὸν ἐπίσκοπον δοῦναι εἰρήνην τῷ λαῷ P^5 | τῷ ἐπισκόπῳ P^2 | τῷ λαῷ > P^2 | τούτων στρατηγοὶ P^5 | **17** αὐτῶν] α *a. Ras.* C^1 | καὶ] + οἱ $P^1C^1LP^3$ | οἱ — παρέχοντες > $P^5P^1C^1$ | κατὰ] καὶ P^5 | **18** εἰ] ἢ P^5, ἡ P^1 | τις] ἢ P^5, που P^1C^1 | **19** πενόμενος] + που LP^3 | ἀρθῆναι P^2 | ληψόμενοι P^1, λαβεῖν P^2 | ἀναλώματα πρὸς ἰδίαν παραμυθίαν P^5 | **20** εἴπη P^2C^1 | δήμων] η *a. Ras.* L | **21** ἀγγέλους L | προσιόντας P^2 | **22** τί — ἐξείποι > P^5 | τί *von 2. Hd. ein* σ *s. l. zugefügt* C^1 | ἐξείποι] + τις P^1LP^3 | ἀναριθμήτων ὄντων P^2. |

Digitized by Google

6. πλὴν ὅσον παρὰ τοῦ ἐκεῖ ἁγίου ἐπισκόπου ἠκριβευσάμεθα, ἐδηλώσαμεν, μυρίους μὲν μοναχοὺς ὑπ' αὐτόν, δὶς μυρίας δὲ παρθένους ἔχοντος. τὴν δὲ φιλοξενίαν αὐτῶν καὶ τὴν ἀγάπην, οἵαν παρεῖχον, ἐμὲ οὐχ οἷόν τε ἐξειπεῖν· διεσπᾶτο γὰρ ἡμῶν τὰ πάλλια ἑκατέρωθεν ἡμᾶς πρὸς ἑαυτοὺς ἀνθελκόντων.

7. Καὶ εἴδομεν ἐκεῖ πολλοὺς καὶ μεγάλους πατέρας διάφορα χαρίσματα ἔχοντας, τοὺς μὲν ἐν λόγῳ, τοὺς δὲ ἐν πολιτείᾳ, τοὺς δὲ ἐν δυνάμεσι καὶ σημείοις.

VI. Περὶ Θεωνᾶ.

1. Εἴδομεν δὲ καὶ ἄλλον οὐ μικρὸν τῆς πόλεως ἐπὶ τὴν ἔρημον, Θεωνᾶν ὀνόματι, ἄνδρα ἅγιον ἐν οἰκίσκῳ καταμόνας ἐγκεκλεισμένον ἐπὶ τριάκοντα ἔτη σιωπὴν ἀσκήσαντα. ὃς πλείστας δυνάμεις ἐπιτελῶν, ὡς προφήτης παρ' αὐτοῖς ἐνομίζετο. ἐξήρχετο γὰρ πρὸς αὐτὸν ἡμέριον τὸ πλῆθος τῶν ἀσθενούντων καὶ διὰ θυρίδος ἐπιτιθεὶς αὐτοῖς τὴν χεῖρα ὑγιεῖς ἀπέλυεν ἀπελθεῖν. ἦν δὲ ἰδεῖν αὐτὸν πρόσωπον ἀγγέλου ἔχοντα χαροποιὸν τοῖς ὀφθαλμοῖς καὶ πολλῆς χάριτος ὅλον μεστόν.

2. Ὅς οὐ πρὸ πολλοῦ τινος χρόνου λῃστῶν αὐτῷ ἐπελθόντων νυκτὸς μακρόθεν οἰηθέντων χρυσίον εὑρήσειν ἱκανὸν παρ' αὐτῷ καὶ βουλομένων αὐτὸν ἀναιρεῖν, ηὔξατο, καὶ ἀκίνητοι πρὸς τὰς θύρας αὐτοῦ ἄχρι πρωὶ ἔμειναν. παραγενομένων δὲ πρωὶ πρὸς αὐτὸν τῶν ὄχλων καὶ πυρὶ παραδοῦναι αὐτοὺς προαιρουμένων ἀναγκασθεὶς ἕνα πρὸς αὐτοὺς ἀπεφθέγξατο

---

8 C. 6 r, c. 50 𝔡. Cf. Sozom. h. e. VI 28,3 s. S. 28 z. Z. 3; λέγεται δὲ καὶ Θεωνᾶν μὲν ἵστορα ὄντα τῆς Αἰγυπτίων καὶ Ἑλλήνων καὶ Ῥωμαίων παιδεύσεως, ἐπὶ τριάκοντα ἔτη σιωπὴν ἀσκῆσαι. **15** Cf. Act. 6,15.

$P^2P^5P^1C^1LP^3$ r a] **1** ἐκεῖ] ἐκείνου L, > P^2 | ἠκριβωσάμεθα P^2 | δηλώσωμεν LP^3, δηλώσομεν Schw. | **2** αὐτῶν L | μυρίας] μυρίους P^2 | ἔχοντας L, ἔχοντες P^3 | **3** δὲ *m. 2 s. l.* C^1 | παρεῖχον Schw., καὶ εἶχον (καὶ *s. l.* P^1) $P^2P^5P^1C^1$, εἶχον LP^3 | τε > LP^3 | **4** διέσπαστο P^2 | ἑκατέρων P^1C^1, ἑκατέρους P^2, ἐκ τῶν P^5LP^3, *von beiden Seiten* a | αὐτοὺς P^2 | **5** ἀνθελκόντων] *von 1. oder gleichzeit. Hd. aus* ἀνελκόντων P^5 | **6** καὶ > P^2 | εἴδομεν] + οὖν P^2. |

9 $P^2P^5P^1C^1LP^3$ 𝔡 r a] περὶ] + ἀββᾶ $P^2P^5LP^3$, τοῦ ἀββᾶ 𝔡 | Θεωνᾶ P^2P^5 a Soz., θέωνος *rell.* | **10** δὲ > P^2P^1 r a | ἄλλον] + πατέρα P^5 | ἐν τῇ ἐρήμω οἰκοῦντα P^5 | θεώναν C^1, θέωνα P^1 | **11** ὀνόματι θ. P^5LP^3 𝔡 | ἅγιον] ἡγιασμένον P^5 | ἐγκλεισμένον P^3 | τριάκοντα ἔτη P^2 r a Soz., τριακονταετῆ χρόνον (+ καὶ P^5) $P^5P^1C^1LP^3$ 𝔡 | **12** ἀσκήσαντα σιωπὴν P^2 | ὃς] ὡς L | **13** ἀπήρχετο P^2 | πρὸς αὐτὸν *nach* 14 ἀσθενούντων P^5 | ἡμέριον > P^5 | τὸ πλῆθος ἡμέριον P^2 | **14** αὐτοῖς ἐπιτιθεὶς P^2P^5 | ἐπιθεὶς P^1C^1 | τὰς χεῖρας $P^2P^5LP^3$ 𝔡 r | **15** αὐτὸν] αὐτοῦ τὸ C^1; + τὸ P^1, ὡς P^5 | **16** πολλῆς] μεγίστης P^5, θείας P^2, ὅλης? r, πάσης a | ὅλον > L | μεστόν] πεπληρωμένον P^5 | **17** ὧι P^1 | οὐ > L | τινος > P^5 | **18** οἰηθέντων] η *a. Ras.* C^1, νομιζόντων P^5; + αὐτῶν P^1 | χρυσὸν P^1 | παρ' αὐτῷ *vor* εὑρήσειν 𝔡 | εὑρεῖν LP^3 | ἱκανὸν > LP^3 𝔡 | καὶ — 19 ἀναιρεῖν > r | **19** πρὸ P^5 | τῆς θύρας P^5, ταῖς θύραις P^2 | αὐτοῦ > P^1LP^3 𝔡 | ἄχρι πρωὶ] μέχρι πρωΐας P^5, > r | **20** ἔμενον P^1C^1 | πρωὶ *nach* αὐτὸν P^1C^1, > LP^3 𝔡 | τῶν ὄχλων πρὸς αὐτὸν P^5 | καὶ — 31,1 λόγον] καὶ βουλομένων πυρὶ τούτους παραδοῦναι ὡς ἀνδροφόνους ἀπεφθέγξατο πρὸς αὐτοὺς ὁ ἅγιος λέγων P^5 | **21** αὐτοὺς] αὐτοῖς P^2, > 𝔡 | προνοουμένων LP^3, νοουμένων 𝔡 | ἐφθέγξατο P^2. |

Digitized by Google

λόγον· ‚ἄφετε αὐτοὺς ὑγιεῖς ἀπελθεῖν· εἰ δὲ μή, ἡ χάρις τῶν ἰαμάτων ἀπ' ἐμοῦ φεύξεται.' οἱ δὲ ἤκουσαν αὐτοῦ [καὶ ἀπέλυσαν αὐτοὺς ἀβλαβεῖς·] οὐδὲ γὰρ ἀντειπεῖν ἐτόλμων. καὶ ἦλθαν εὐθὺς οἱ λῃσταὶ ἐν τοῖς πέριξ μοναστηρίοις σὺν τοῖς μοναχοῖς μεταβαλόντες τὸν τρόπον καὶ ἐπὶ τοῖς πεπραγμένοις μετανοοῦντες.

3. Πεπαίδευτο δὲ ὁ ἀνὴρ τριπλῇ τῶν διαλέξεων χάριτι ἔν τε Ἑλληνικοῖς καὶ Ῥωμαικοῖς καὶ Αἰγυπτιακοῖς ἀναγνώμασι, καθὼς παρὰ πολλῶν καὶ παρ' αὐτοῦ ἐκείνου ἐμάθομεν. ἐπιγνοὺς γὰρ ἡμᾶς ξένους ὄντας γράψας ἐν πινακιδίῳ τῷ θεῷ ἐφ' ἡμῖν ηὐχαρίστησεν. 4. ἤσθιε δὲ τῶν σπερμάτων τὰ ἄνεφθα. ἐξῄει δέ, ὡς φασί, νύκτωρ τοῦ κελλίου καὶ ἀγρίοις θηρίοις συνηγελάζετο καὶ ἐξ οὗ εἶχεν ὕδατος αὐτὰ ἐπότιζεν. ἦν γὰρ ἰδεῖν ἴχνη βουβάλων καὶ ὀνάγρων καὶ δορκάδων [τινῶν] παρὰ τὴν μονὴν αὐτοῦ, οἷς ἀεὶ προσετρέπετο.

VII. Περὶ Ἠλία.

1. Εἴδομεν δὲ καὶ ἕτερον πρεσβύτην, Ἠλίαν ὀνόματι, ἐν τῇ ἐρήμῳ τῆς Ἀντινόου, μητροπόλεως τῆς Θηβαΐδος, ἑκατὸν δέκα ἐτῶν λοιπὸν ὄντα· ἐφ' ὃν ἔλεγον τὸ τοῦ προφήτου Ἠλία πνεῦμα ἀναπεπαῦσθαι. διαβόητος γὰρ ἦν οὗτος ἐν τῇ φοβερᾷ ἐρήμῳ ἐκείνῃ ἑβδομήκοντα ἔτη ποιήσας. οὐ δύναται δὲ λόγος ἐπαξίως τὴν τραχεῖαν ἐκείνην ἔρημον διηγήσασθαι τὴν ἐν τῷ

14 C. 12 r, c. 51 δ. Cf. Sozom. h. e. VI 28,6: Ἠλίας δέ, τότε μὲν οὐ πόρρω τῆς Ἀντινόου πόλεως ἐφιλοσόφει, ἀμφὶ τοὺς ἑκατὸν καὶ δέκα ἄγων ἐνιαυτούς· πρὸ τούτου δὲ ἔλεγεν ἐπὶ ἑβδομήκοντα ἔτεσι μόνος ἐρημίαν οἰκῆσαι ἐπὶ τοσοῦτον γηραλέος γεγονώς, διετέλεσε νηστεύων καὶ ἀνδρείως πολιτευόμενος.

$P^2P^5P^1C^1LP^3$ δ r a] **1** αὐτοὺς] τούτους $P^1C^1LP^3$ δ | εἰ] ἢ P^5 | μή γε P^1C^1 | **2** ὑπήκουσαν C^1 | καὶ ἀπέλυσαν αὐτοὺς ἀβλαβεῖς P^5 r, > *rell.* | **3** ἀντειπεῖν] + τῷ ἁγίῳ P^5 | καὶ ἦλθαν Schw., ἀπῆλθον οὖν P^5, ἦσαν *rell.* | εὐθὺς] λοιπὸν P^2; + καὶ ἀπεκάρησαν εἰσελθόντες P^5 | εἰς τὰ μοναστήρια P^5 | **4** σὺν] ἐν P^1C^1 | ἀδελφοῖς P^2 | μεταβαλλόμενοι P^5 | καὶ — **5** μετανοοῦντες] μετενόουν ἐπὶ τοῖς πεπραγμένοις P^5 | ἐπὶ] ἐν C^1 | **6** δὲ > L | ὁ] οὗτος ὁ θαυμαστὸς P^5 | θεία χάριτι τριπλῆ τῶν διαλέξεων P^2 | λέξεων LP^3 δ | **7** ῥωμαικοῖς καὶ ἑλληνικοῖς P^5 | αἰγυπτικοῖς P^2 | καθὼς] + καὶ P^1LP^3 δ | **8** ἐμάθομεν] ἀκηκόαμεν P^5 | **9** τὸν θεὸν P^1C^1 | ἐφ'] δι' P^2 | ἡμᾶς P^2 | **10** ὡς φασί > P^1C^1 | νυκτὸς P^2P^1 | καὶ > P^5 | **11** συνεγελάζετο P^2LP^3, συναγελάζετο C^1, συγγελαζόμενος P^5 | ἐπότιζεν αὐτὰ P^2 | **12** ἴχνος P^5 | ὀνάγρων *und* δορκάδων *vertauscht* r | δορκάδων] + καὶ ἄλλων C^1 | τινῶν LP^3 δ, κτηνῶν P^1C^1, πολλῶν P^2, > P^5 a | παρὰ] περὶ P^5C^1 | **13** οἷς — προσετρέπετο > r | οἷς] εἰς P^1 | προετέρπετο P^2, ἐτρέπετο P^5, προσεδρεύοντα P^1. |

14 $P^2P^5P^1C^1LP^3$ δ r a] περὶ] + ἀββᾶ LP^3 δ | Ἠλία] + ἀναχωρητοῦ a | **15** δὲ > C^1 r | ἕτερον] + τινα P^5 | πρεσβύτην] *aus* πρεσβύτερον *corr.* P^3, πρεσβύτερον δ; + venerabilem r | Ἠλίαν ὀνόματι] *hinter* 16 Θηβαΐδος P^5 a, > $P^1C^1LP^3$ δ | τῇ > LP^3 δ | **16** τῆς > P^1 | ἑκατονταέτῆ P^1C^1 | **17** ἐλέγετο δ | ἡλίου P^1C^1 | ἀναπεπαῦσθαι] *eine j. Hd. hat die verblichenen Bst. zu* ἀναπέπαυται *nachgefahren* L | ἀναπεπαῦσθαι πνεῦμα P^5, ἐπαναπαύεσθαι π. P^2 | **18** οὗτος > P^5 | ἐκείνῃ *vor* ἐρήμῳ P^5LP^3 δ, > r | ἑβδομήκοντα] τα *m. 2. s. l.* P^3; + γὰρ P^1C^1 | **19** ἐπαξίως *vor* διηγήσασθαι P^2, ἐπάξιος δ | τὴν — διηγήσασθαι] τὴν τραχύτητα ἐκείνης τῆς ἐρήμου ἐπαξίως διηγήσασθαι P^5 | τὴν²] τῆς P^3 | τὴν² — 32,1 ὄρει > P^5. |

Digitized by Google

ὄρει, ἐν ᾧ ἐκεῖνος ἐκάθητο μηδέποτε κατελθὼν εἰς τὴν οἰκουμένην. 2. ἄτραπος δὲ στενή τις ἦν τῶν πρὸς αὐτὸν ἀπιόντων, ὡς μόλις ἐπιβαίνειν τοῖς ἴχνεσι τοὺς ἀφικνουμένους ἔνθεν κἀκεῖθεν λίθων ἀγρίων παρακειμένων. ἦν δὲ καθήμενος ὑπὸ πέτραν τινὰ εἰς σπήλαιον, ὥστε καὶ τὸ ἰδεῖν αὐτὸν λίαν ἦν φοβερόν. ἔτρεμε δὲ λοιπὸν ὅλως ὑπὸ τοῦ γήρως συνεχόμενος. πολλὰ δὲ καθ' ἑκάστην ἡμέραν σημεῖα ἐπιτελῶν καὶ ἰώμενος τοὺς κάμνοντας οὐκ ἐπαύετο. 3. ἔλεγον δὲ περὶ αὐτοῦ οἱ πατέρες, ὅτι οὐδεὶς μέμνηται τὴν αὐτοῦ ἐν τῷ ὄρει γεγενημένην ἄνοδον. ἤσθιε δὲ ἐν τῷ γήρει οὐγκίας τρεῖς ἄρτου εἰς ἑσπέραν καὶ τρεῖς ἐλαίας. ἐν νεότητι δὲ ἀεὶ δι' ἑβδομάδος ἅπαξ ἐσθίων διέμενεν.

VIII. Περὶ Ἀπολλῶ.

1. Ἐθεασάμεθα δὲ καὶ ἕτερον ἄνδρα ἅγιον, ὀνόματι Ἀπολλῶ, ἐν Θηβαΐδι, ἐν ὁρίοις Ἑρμουπόλεως, ἐν ᾗ ὁ σωτὴρ μετὰ Μαρίας καὶ τοῦ Ἰωσὴφ παρεγένετο, Ἡσαΐου τὴν προφητείαν ἀναπληρῶν λέγοντος· ‚ἰδοὺ κύριος κάθηται ἐπὶ νεφέλης κούφης καὶ ἥξει εἰς Αἴγυπτον καὶ σεισθήσεται τὰ χειροποιητὰ Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ

11 C. 7 r, c. 52 δ. Cf. Sozom. h. e. III 14,18.19: κατὰ τοῦτον δὲ τὸν χρόνον καὶ Ἀπολλώνιος ἐπὶ μοναχικῇ φιλοσοφίᾳ διέπρεπεν: ὅν φασι δέκα καὶ πέντε ἐτῶν ὄντα φιλοσοφῆσαι ἐν ταῖς ἐρήμοις· εἰς ἔτη δὲ τεσσαράκοντα γεγονὼς κατὰ θείαν πρόσταξιν εἰς τοὺς οἰκουμένους ἦλθε τόπους· εἶχε δὲ καὶ αὐτὸς ἐν τῇ Θηβαΐδι τὴν συνοικίαν· ἐγένετο δὲ θεοφιλὴς εἰς ἄγαν καὶ παραδόξων ἰάσεων καὶ σημείων δημιουργός· καὶ πρακτικὸς ὢν δὲ καὶ τῶν εἰς φιλοσοφίαν ἡκόντων διδάσκαλος ἀγαθὸς καὶ χαρίεις· καὶ ἐπὶ τοσοῦτον ἐν ταῖς εὐχαῖς εὐήκοος, ὡς μηδὲν ἀνήνυτον γενέσθαι, ὧν παρὰ θεοῦ ἐζήτησε· πάντως γὰρ σοφὸς ὤν, σοφῶς τὰς αἰτήσεις ἐποιεῖτο, αἷς τὸ θεῖον ἑτοίμως ἐπινεύειν πέφυκε. — VI 29,1: κατὰ τούτους δὲ καὶ Ἀπολλὼς ἐν Θηβαΐδι διέτριβεν· ὃς ἡβῶν ἀρχόμενος ἐφιλοσόφησεν· ἐπὶ τεσσαράκοντα δὲ ἔτη τὴν ἔρημον οἰκήσας, σπήλαιον ὑπὸ τὸ ὄρος πλησίον τῆς οἰκουμένης τοῦ θεοῦ χρήσαντος κατέλαβεν· ὑπὸ δὲ πλήθους θαυματουργιῶν ἐν ὀλίγῳ ἐπίσημος ἐγένετο καὶ ἡγεμὼν πλείστων μοναχῶν· ἦν γὰρ καὶ ταῖς διδασκαλίαις εἰς ὠφέλειαν ἐπαγωγός. **14** Is. 19,1.

$P^2 P^5 P^1 C^1 LP^3$ δ r a] **1** ἐν — κατελθὼν] ἔνθα ἐκεῖνος καθεζόμενος οὐδέποτε κατῆλθεν P^5 | ᾧ] ᾗ P^2 | ἐκαθέζετο LP^3 δ | μηδὲ τότε L | οἰκουμένην] + ἡ C^1 | **2** δὲ] γὰρ P^5; + καὶ P^2 | τις στενὴ L | ἐστὶν P^5 | τῶν > $P^5 LP^3$ | ἀπιόντων] ἀπάγουσα P^5 | ὡς > C^1 | μόγις $P^5 P^1 C^1$ | **3** τοὺς] + ἐκεῖσε P^5 | ἀφικνουμένους] ἐπειγομένους P^1, ἐπιγομένους C^1 | ἔνθεν — παρακειμένων > r | **4** ἐν σπηλαίῳ P^5 | τὸ > P^2 | αὐτὸ L r | **5** λίαν > C^1 | φοβερὸν ἦν λίαν $P^2 P^5$ | δὲ] γὰρ P^5 | ὅλος $P^2 P^5 P^3$ | **6** ἐπετέλει $P^1 C^1$, ἀπετέλει P^5 | καὶ > P^5 | κάμνοντας] κα *a. Ras.* P^1, ἀσθενοῦντας P^5 | **7** οὐκ ἐπαύετο > P^5 | δὲ] + οἱ P^5 | αὐτὸν P^5 | οἱ] cuncti r, > P^5 | οὐδεὶς] + ἐξ ἡμῶν φησὶ P^5 | **8** γεγενημένην ἐ. τ. ὄρει P^2 | ἄνοδον ἐ. τ. ὄρει (> γεγενημένην) P^5 | ///////ἄνοδον (*1 Bst. ausr.*) P^1 | τῷ] + τοιούτῳ P^5 | γήρᾳ P^2 | ὀγκίας L | τρεῖς οὐγγίας P^2, τ. οὐγκίας $P^5 P^3$, exiguus r | **9** εἰς (πρὸς P^2) ἑσπέραν *hinter* ἐλαίας $P^2 P^5$; > r | τρεῖς^2] paucissimae r | ἐν] + δὲ τῇ P^5 | δὲ] αὐτοῦ P^5 | ἀεὶ] *dahinter ein durchgestr.* ἐν C^1 | **10** ἐσθίων ἅπαξ LP^3 δ | διετέλει δ. |

11 $P^2 P^5 P^1 C^1 MLP^3$ δ r a] περὶ] + ἀββᾶ LP^3 δ, τοῦ μεγάλου P^2 | Apollonius r, Apolonos a | **12** δὲ > r | ἕτερον > a | ἄνδρα] + τινὰ a | ἐν] + τῇ P^2 | **13** ὁρίοις] + τῆς C^1 M | ᾗ] οἷς P^5 | μετὰ] + τῆς μητρὸς αὐτοῦ τῆς ἁγίας P^2, τῆς παρθένου δ | τοῦ] + ἁγίου δ, > P^3 | **14** Ἡσαΐου > a | ἐκπληρῶν L | λέγουσαν a | **16** σεισθήσονται C^1 M δ. |

Digitized by Google

καὶ πεσοῦνται ἐπὶ τὴν γῆν.‘ εἴδομεν γὰρ ἐκεῖ καὶ τὸν ναόν, ἔνθα εἰσελθόντος τοῦ σωτῆρος ἐν τῇ πόλει τὰ εἴδωλα πάντα κατέπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν.

2. Εἴδομεν οὖν τὸν ἄνδρα τοῦτον ἐν τῇ ἐρήμῳ ὑπὸ τὸ ὄρος ἔχοντα μοναστήριον, πατέρα μοναχῶν πεντακοσίων. ὃς διαβόητος ἦν ἐν Θηβαΐδι καὶ ἔργα μεγάλα ἦν αὐτῷ, καὶ δυνάμεις πολλὰς ἐποίει δι᾽ αὐτοῦ ὁ κύριος, σημεῖά τε πάμπολλα δι᾽ αὐτοῦ ἐπετελοῦντο. οὗτος γὰρ ἐκ παιδόθεν πολλὴν ἄσκησιν ἐνδειξάμενος ἐν τῷ τέλει τῆς ἡλικίας τοιαύτης ἔτυχε χάριτος· ὀγδοηκοστοῦ γὰρ ὢν ἔτους μέγα μοναστήριον ἑαυτῷ συνεκρότησε τελείων ἀνδρῶν πεντακοσίων, δυναμένων σχεδὸν πάντων σημεῖα ἐπιτελεῖν.

3. Οὗτος δεκαπέντε ἐτῶν ἀναχωρήσας τοῦ κόσμου καὶ τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ διατελέσας πᾶσάν τε ἀρετὴν ἀκριβῶς ἐξασκήσας, ὕστερον φωνῆς ἀκούειν ἔδοξε τοῦ θεοῦ πρὸς αὐτὸν λέγοντος· ‚Ἀπολλῶ, ἀπολῶ διά σου τὴν σοφίαν τῶν ἐν Αἰγύπτῳ σοφῶν καὶ τὴν σύνεσιν τῶν ἀσυνέτων ἐθνῶν ἀθετήσω. ἀπολεῖς δέ μοι σὺν αὐτοῖς καὶ τοὺς σοφοὺς Βαβυλῶνος καὶ πᾶσαν τὴν δαιμονικὴν λατρείαν ἐξαφανίσεις. καὶ νῦν πορεύου εἰς τὴν οἰκουμένην· γεννήσεις γάρ μοι λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων.‘ 4. ὁ δὲ ἀποκριθεὶς εἶπεν· ‚ἄφελε ἀπ᾽ ἐμοῦ, δέσποτα, τὴν ἀλαζονείαν, μή πως ἐπαρθεὶς ὑπὲρ τὴν ἀδελφότητα τὸ πᾶν ἀγαθὸν ζημιωθῶ‘. εἶπε δὲ πάλιν ἡ θεία φωνὴ πρὸς αὐτόν· ‚ἐπίβαλε τὴν χεῖρά σου ἐπὶ τὸν αὐχένα σου καὶ καθέξεις καὶ κατορύξεις αὐτὴν ἐν τῇ ἄμμῳ‘. ὁ δὲ ταχέως τὴν χεῖρα ἐπὶ τὸν αὐχένα ἐπιβαλὼν ἐδράξατο Αἰθίοπος μικροῦ καὶ κατέχωσεν

2 Cf. ev. inf. arab. 10. Ps. Mt. 23. **14** Cf. Is. 29,14. (1. Cor. 1,19.) **17** Tit. 2,14.

$P^2 P^5 P^1 C^1 MLP^3$ δ r s a] **1** εἴδομεν — 3 γῆν > $P^1 C^1$ M | γὰρ > δ | **2** ἐν τ. πόλει > r | τὰ εἴδωλα] *der Mörtel der Götzenbilder* a | κατέπεσον P^5, κατέπεσαν L | **3** ἐπὶ] εἰς P^2 | **4** τοῦ ὄρους P^2 | **5** μοναστήρια $C^1 MP^3$ | πατέρα] πατέρας L; + ὡς δ r a | πεντακοσίων μοναχῶν δ | **6** καὶ¹ — αὐτῷ > a | ἦν αὐτῷ *zu str.*? Schw. | ἦν > $P^1 LP^3$ δ | πολλὰς] μεγάλας $P^5 LP^3$ δ | κύριος] θεὸς P^1 s | **7** τε] δὲ LP^3 δ | πολλὰ $P^2 P^1$ | δι᾽ αὐτοῦ P^2 | δι᾽ α. ἐπετελοῦντο > r | παιδιόθεν C^1, παιδιόθεν L, νεαρᾶς ἡλικίας P^5 | **8** ἐπιδειξάμενος P^2 | ἡλικίας] + αὐτοῦ $P^2 C^1$ | τοσαύτης LP^3 δ | τοιαύτης] πολλῆς καὶ ὑπερθαυμάστου P^5 | χάριτος ἔτυχεν P^5 | **9** ὀγδοηκοστὸν γὰρ ἔτος ἤδη ἄγων P^5 | ἔτους *nach* γὰρ LP^3 | συνεκρότησεν ἑαυτῷ P^2 | τελείων — 10 ἐπιτελεῖν] πεντακοσίων ὡς εἴρηται μοναχῶν πάσῃ ἀρετῇ πάντῃ κεκοσμημένων καὶ σημεῖα ἐπιτελεῖν δυναμένων P^5 | **11** οὗτος] + ὁ μακάριος ἀπολλῶ P^5 | πεντεκαίδεκα $P^5 P^1$ M | καὶ — 12 ἔτη] τεσσαρακοστὸν δὲ χρόνον P^5 | **12** ἐπιτελέσας $P^1 C^1$ M, ποιήσας P^2 | πᾶσαν — ἐξασκήσας > $P^5 P^1$ | τε > LP^3 δ | **13** Ἀπολλῶ, ἀπολῶ r s, ἀ. ἀπολ////ῶ (λ *scheint ausrad.*) P^2, ἀ. ἀπωλῶ L, ἀπολλῶ, ἀπολλῶ $P^5 P^1 C^1 MP^3$ δ a | **14** σου] + ἀπολῶ P^5 | ἐν Αἰγύπτῳ] αἰγυπτίων C^1 M δ a | σοφῶν] + ἀπολέσω $P^1 C^1$ M | καὶ — 15 ἀθετήσω > P^1 | συνετῶν TM δ | **15** ἐθνῶν ἀθετήσω *a. Ras.* C^1 | ἀπολέσεις $P^1 C^1$ M | μοι > P^2 a | σὺν αὐτοῖς *nach* τοὺς r | **16** λατρείαν] ἀπάτην M | καὶ νῦν] νῦν οὖν P^2 | εἰς] + πᾶσαν $P^1 C^1$ M | **17** γεννήσεις] προσάξεις P^5 | **18** δέσποτα] *nach* 19 ἀλαζονείαν P^5; > s | **19** ἀρθεὶς P^5, ὑπεραρθῇς L, ὑπεραρθεὶς P^3 δ | **20** ἐπίβαλον LP^3 δ, ἐπίθες P^5 | τὸν] + ἴδιον P^5 | **21** σου > P^5 | καθέξεις] + τινα C^1, τι s, αὐτὴν P^5 | αὐτὴν] αὐτὸν $P^1 C^1$, > P^5 | ταχέως *nach* 22 χεῖρα P^2 | **22** χεῖρα] + αὐτοῦ L | τὸν] + ἴδιον P^5 | βαλὼν P^2 | αἰθίοπα μικρὸν $P^5 LP^3$. |

Digitized by Google

αὐτὸν ἐν τῇ ἄμμῳ βοῶντα καὶ λέγοντα· ‚ἐγώ εἰμι ὁ τῆς ὑπερηφανίας δαίμων‘. καὶ πάλιν φωνὴ ἐγένετο πρὸς αὐτὸν λέγουσα· ‚πορεύου, ὅτι πᾶν, ὃ ἐὰν αἰτήσῃ παρὰ τοῦ θεοῦ λήψῃ‘. ὁ δὲ εὐθὺς ἀκούσας εἰς τὴν οἰκουμένην ἐξώρμησε κατὰ τὸν καιρὸν Ἰουλιανοῦ τοῦ τυράννου καὶ παραβάλλει τέως ἐν τῇ πλησίον ἐρήμῳ.

5. Σπήλαιον δὲ μικρὸν καταλαβὼν ἐκεῖ κατέμεινεν ὑπὸ τὸ ὄρος. τὸ δὲ ἔργον αὐτοῦ ἦν τὸ πανημερίους εὐχὰς τῷ θεῷ ἀποδιδόναι, ἑκατοντάκις μὲν ἐν νυκτί, τοσαυτάκις δὲ ἐν ἡμέρᾳ κάμπτων τὰ γόνατα. ἡ τροφὴ δὲ αὐτοῦ τέως καθάπερ πρῶτον παρὰ θεοῦ ἐξ ἀμηχάνου ἐχορηγεῖτο. 6. ἐν τῇ ἐρήμῳ γὰρ αὐτῷ δι' ἀγγέλου ἡ τροφὴ ἐκομίζετο. τὸ δὲ ἔνδυμα αὐτοῦ ἦν ὁ λευιτών, ὅνπερ τινὲς κολόβιον προσαγορεύουσι, καὶ λέντιον μικρὸν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. ταῦτα γὰρ αὐτῷ ἔμειναν ἐν τῇ ἐρήμῳ μὴ παλαιούμενα.

7. Ἦν γοῦν ἐν τῇ πλησίον τῆς οἰκουμένης ἐρήμῳ ἐν τῇ δυνάμει διάγων τοῦ πνεύματος σημεῖα καὶ ἰάσεις ἐπιτελῶν θαυμαστάς, ἃς οὐκ ἄν τις δι' ὑπερβολὴν θαύματος πάσας ἐξειπεῖν δύναιτο, καθὼς παρὰ τῶν συνόντων αὐτῷ πρεσβυτέρων ἠκούσαμεν καὶ αὐτῶν τελείων ὄντων καὶ ἡγουμένων πολλῆς ἀδελφότητος. 8. γέγονεν οὖν εὐθὺς διαβόητος ὁ ἀνὴρ ὡσὰν νέος τις προφήτης καὶ ἀπόστολος τῇ ἡμετέρᾳ γενεᾷ ἐπιφοιτήσας.

---

2 Cf. Joh. 16,23 f. etc. **14** Cf. Luc. 4,14.

$P^2P^5P^1C^1MLP^3$ ϑ r s a] **1** ἄμμῳ] ἐρήμω P^1M | τῆς ὑπερηφανίας (+ ὁ P^1M) δαίμων P^1C^1M, ὁ δαίμων τ. ὑ. P^2 | **2** ἐγένετο φωνὴ P^2 | γέγονε P^1M, γέγονεν C^1 | αὐτὸν] + βοῶσα καὶ M | λέγουσα > C^1 | **3** ἂν C^1 | παρὰ τ. θεοῦ] παρευθὺ M | λήψῃ *vor* παρὰ P^5 | ἀκούσας εὐθὺς ἐξώρμησεν εἰς P^5 | **4** κατὰ — καιρὸν] ἐβασίλευσε δὲ τότε P^5 | ἰουλιανὸς ὁ τύραννος P^5 | καὶ — 5 ἐρήμῳ > r | παραβάλῃ P^3 | τέως] + τότε ὁ ὅσιος ἀπολλῶ P^5 | **6** καὶ εὑρὼν σπήλαιον P^5 | δὲ] + τι LP^3 ϑ; > P^5 | καταλαβὼν > P^5 | **7** πανημέριον P^1C^1M, ἀδιαλείπτους P^5 | ἀποδοῦναι τ. θεῶ LP^3 ϑ, ἀποδιδόναι τῶ θεῶ τὰς εὐχὰς P^5 | ἑκατοντάκις — 8 γόνατα] δι' ὅλης μὲν τῆς ἡμέρας ποιῶν εὐχὰς ἑκατόν, τοσαύτας δὲ καθ' ὅλην τὴν νύκτα, γονυκλιτῶν πυκνότερον ἡμέρας δὲ καὶ νυκτὸς P^5 | **8** μὲν] δὲ M | ἐν] + τῇ $P^1C^1MP^3$ ϑ | κάμπτοντος P^2LP^3 | τὰ > P^2 | **9** αὐτῶ P^5 | τέως — 10 αὐτῷ] ἔτι θέοθεν P^5 | παρὰ] ἐκ M | ἀμηχανίας LP^3 ϑ | ἐν — 10 ἐκομίζετο > r | **10** δι'] παρ' ϑ | ἡ τροφὴ > P^5 | ἡ > P^2 | ἐκομίζετο] ἐχορηγεῖτο καθὰ δὴ καὶ πρότερον ἐν τῇ πανερήμω ὄντι P^5 | **11** ἦν αὐτῶ LP^3 ϑ | ἦν > P^1C^1M | ὁ — τινὲς > s | ὁ > P^1 | λεβιτῶν C^1 ϑ, λεβήτων $P^2P^1MLP^3$, λεβήτωνα P^5 | ὅπερ P^2M | ὅνπερ — προσαγορεύουσι > P^5 | κολλόβιον L | προσαγορεύουσι > s | μικρὸν > r | **12** ἐπὶ] περὶ P^1C^1M | τῆς κεφαλῆς P^5 | αὐτοῦ > P^5 | γὰρ > r | αὐτῷ — ἐρήμῳ] ἐκ πάλαι ἐφόρει ἅπερ καὶ ἔσμενον οἰκονομία θειοτέρα P^5 | ἔμειναν *hinter* ἐρήμῳ LP^3 ϑ | **14** γοῦν] οὖν P^2; + ὡς εἴρηται P^5 | ἐν τῇ > P^2 | τῆς οἰκουμένης > P^5 r | ἐρήμῳ > P^2 | ἐν — 15 διάγων] οἰκῶν τῇ δυνάμει P^5 | **15** τοῦ] + ἁγίου P^5 | σημεῖα] πολλὰ θαύματα P^5 | σημεῖα] + τε P^2, δὲ ϑ | ἰάσεις] δυνάμεις P^2 | θαυμαστὰς — 16 δύναιτο] καὶ τοσαῦτα, ὅσα καὶ διὰ τὸ πλῆθος ἀδύνατον γραφῇ παραδοῦναι P^5 | **16** δι' ὑπερβολὴν] ὑπερβολῇ P^1C^1M | θαυμάτων C^1, > L | πάσας > P^1C^1M | δύναται LP^3 ϑ | παρὰ — 18 ἀδελφότητος] τοῦτο ἐβεβαίουν οἱ σὺν αὐτῶ ὄντες πρεσβύτεροι, οἵτινες καὶ αὐτοὶ τέλειοι ὑπῆρχον ἐν πάσῃ ἀρετῇ καὶ πολλῶν ἀδελφῶν ἀφηγούμενοι ἕκαστος τούτων P^5 | **17** πρεσβυτέρων > L | καὶ¹ — 18 ἀδελφότητος > r | **18** οὖν] τοίνυν P^5, > C^1 | περιβόητος L | **19** ὥσπερ P^2, ὡς P^5 | τις νέος P^2P^5 | προφήτης] + θεοῦ P^5 | καὶ] ἢ P^5 | τῇ — ἐπιφοιτήσας > r | ἡμετέρᾳ] ὑμετέραι L, τότε P^5 | ἐποφθείς? s. |

Digitized by Google

φήμης δὲ πολλῆς περὶ αὐτοῦ διαδραμούσης πάντες οἱ πέριξ σποράδην μένοντες μοναχοὶ πρὸς αὐτὸν ἀεὶ ἔφθανον ὡς πατρὶ γνησίῳ τὰς ἑαυτῶν ψυχὰς δῶρα προσφέροντες. ὁ δὲ οὓς μὲν πρὸς θεωρίαν προσεκαλεῖτο, οὓς δὲ τὴν πρακτικὴν συνεβίβαζε μετελθεῖν ἀρετήν, πρῶτον δεικνὺς ἔργῳ, ἅπερ λόγῳ ποιεῖν αὐτοὺς ἐνουθέτει. 9. πολλάκις γὰρ ἐπιδεικνύων αὐτοῖς τὴν ἄσκησιν, κατὰ κυριακὴν μόνον μετ᾽ αὐτῶν μετελάμβανεν, αὐτὸς μὲν οὐδὲν πλέον, ἢ ὅσαπερ τῶν λαχάνων αὐτομάτως ἐκ τῆς γῆς ἀναφύεται, οὐκ ἄρτον τέως, οὐκ ὄσπριον, οὐ τῶν ἐν τοῖς φυτοῖς ὀπωρῶν τι διαιτώμενος, οὐδ᾽ ὅσα διὰ τοῦ πυρὸς ἔχει τὴν χρῆσιν.

10. Ἀκούσας δέ ποτε ἐν τοῖς Ἰουλιανοῦ καιροῖς, ὅτι ἀδελφὸς εἰς στρατιὰν κρατηθεὶς ἐν φυλακῇ δεσμώτης κάθηται, παρεγένετο πρὸς αὐτὸν μετὰ τῆς ἀδελφότητος, παρακαλῶν αὐτὸν καὶ νουθετῶν καρτερεῖν ἐν τοῖς πόνοις καὶ τοὺς ἐπερχομένους αὐτῷ κινδύνους ὑπερορᾶν. καιρὸν γάρ, φησίν, εἶναι ἀγῶνος αὐτῷ τὸ τηνικαῦτα καὶ τὴν γνώμην αὐτοῦ τῇ τῶν πειρασμῶν προσβολῇ δοκιμάζεσθαι. 11. ὡς δὲ ἐπεστήριξεν αὐτοῦ τὴν ψυχὴν τοῖς λόγοις τούτοις, ἐπιστὰς ὁ χιλίαρχος, ὁρμῇ τῆς κακίας φερόμενος, ἀπαγγείλαντος αὐτῷ τινος περὶ αὐτοῦ, καὶ ἐπιθεὶς κλεῖθρα ταῖς θύραις τῆς φυλακῆς αὐτόν τε καὶ τοὺς μετ᾽ αὐτοῦ μοναχοὺς πάντας κατέκλεισεν, ὡς ἐπιτηδείους ἐσομένους πρὸς τὴν στρατιάν, καὶ φύλακας ἱκανοὺς αὐτοῖς καταστήσας ἐπὶ τὴν αὐτοῦ οἰκίαν ἀνεχώρησε, μηδὲ ἄχρι ἀκοῆς παρακληθῆναι

14 Cf. Jac. 1,12. **15** § 11 ff. Cf. Act. 16,25 ff.

$P^2P^5P^1C^1$MLP^3 ϑ r s a] **1** καὶ πολλῆς φήμης P^5 | δὲ] τε C^1M | σποράδην > P^5 | **2** μένοντες] οἰκοῦντες P^5 | ἀεὶ] ὁμοῦ s, > P^5 | ἔφθανον] ἐφοίτων P^5 | αὐτῶν P^2 | **3** προσάγοντες P^2P^1, φέροντες L | ἐξεκαλεῖτο P^5, προσκαλούμενος P^1C^1M | **4** ἀρετὴν μετελθεῖν συνεβίβαζεν P^5 | πρῶτον] πρότερον P^5 | ἔργω δεικνὺς P^5 | **5** αὐτοὺς] ἄλλους P^5LP^3 ϑ | γὰρ > P^5 | ἐπιδεικνὺς P^2 | **6** αὐτοῦ P^2 | κυριακὴν] + καὶ P^1 | μόνην L | μετελάμβανε τροφῆς μετ᾽ αὐτῶν P^5 | αὐτὸς — 7 ἀναφύεται] μηδενὸς ἄλλου μετέχων ἢ λαχάνων ὠμῶν P^5 | **7** οὐδὲν — ἢ > LP^3 ϑ | ὅσονπερ ϑ | αὐτομάτως] + τῶν M | τῆς > P^2 | ἀνεφύετο ϑ | **8** ἄρτου P^5 | τέως > ϑ s | οὐχ ὀσπρίου P^5 | οὐ] οὐχ P^5 | τῶν — φυτοῖς > P^5 | ὀπώρας P^5 | τι > P^1 | τι — 9 χρῆσιν] οὐδέ τινος τῶν διὰ πυρὸς ἔχει τὴν χρῆσιν μεταλαμβάνων P^5 | **9** τοῦ > P^2 *cf.* P^5 | **10** ἐν — καιροῖς] ἐπὶ τῆς βασιλείας ἰουλιανοῦ P^5 | τοῖς] + τοῦ P^2 | ἀδελφὸς] + τις P^5 | **11** κρατηθεὶς διὰ στρατείαν P^5 | κατασχεσθεὶς P^1, κατασχεθεὶς C^1M | δέσμιος P^5 | κατέχεται P^2 | **12** τῆς ἀδελφότητος] καὶ ἑτέρων ἀδελφῶν P^5 | ἐγκαρτερεῖν P^5 | **13** τῶν ἐπερχομένων κινδύνων P^5 | αὐτῷ *hinter* κινδύνους P^1M, > P^5 | ὑπερορᾶν] + *wegen der Hoffnung aufs zukünftige* s | καιρὸς P^5 | γὰρ] + σοι P^5 | **14** εἶναι φησίν P^2 | εἶναι — 15 δοκιμάζεσθαι] ἀγώνων τοῦτο καὶ δοκιμὴ γνώμης ἡ τῶν πειρασμῶν προσβολὴ P^5 | αὐτῷ ἀγώνων L, ἀγώνων αὐτῷ P^3 ϑ | τὸ τηνικαῦτα] τότε ϑ | **15** ὑπεστήριξεν P^2 | τούτου ψυχὴν ἐπεστήριζε P^5 | **16** τούτοις τοῖς λόγοις P^5 | ὁρμῇ — φερόμενος > P^5 | ὁρμῇ — 17 καὶ > r | τῆς > P^2 | **17** τινος ἀπαγγείλαντος αὐτῷ P^5 | ἐπαγγείλαντος ϑ | περὶ αὐτοῦ] τῶν ἐν τῇ φυλακῇ παρουσίαν ὁρμῇ κακίας φερόμενος P^5 | **18** αὐτοῦ] αὐτῶν LP^3 ϑ; + τινὸς P^3 | τε] + τὸν ἅγιον P^5 | καὶ > P^5MP^3 ϑ | τοὺς μοναχοὺς τοὺς μετ᾽ αὐτοῦ P^2 | μετ᾽ αὐτοῦ] σὺν αὐτῷ P^5 | ἀδελφοὺς s | **19** ἱκανοὺς > P^1 | αὐτοῖς ἱκανοὺς P^5C^1 | **20** ἑαυτοῦ P^1C^1M ϑ | οἰκίαν αὐτοῦ LP^3 | ἐχώρησε P^1 | μηδὲ — 36,1 ἀνασχόμενος > r | μηδ᾽ ἄχρις P^2 | μέχρις P^1C^1M | ἄχρι] + ψιλῆς P^5 | παρακλιθῆναι L. |

Digitized by Google

ὑπ' αὐτῶν ἀνασχόμενος. 12. κατὰ δὲ τὸ μεσονύκτιον λαμπαδηφόρος ἄγγελος φαίνεται τοῖς φυλάττουσι φωτὶ καταστράπτων πάντας ἐν τῷ οἰκήματι, ὡς ὑπ' ἐκπλήξεως ἀχανεῖς γενέσθαι τοὺς φύλακας. οἳ καὶ ἀναστάντες ἠξίουν αὐτοὺς ἀπελθεῖν ἅπαντας τῶν θυρῶν αὐτῶν ἀνοιχθεισῶν· ἄμεινον γὰρ εἶναι τὸ αὐτοὺς τεθνάναι ὑπὲρ αὐτῶν ὡμολόγουν, ἢ τὴν θεόθεν ἐλθοῦσαν τοῖς ἀλόγως κατεχομένοις ἐλευθερίαν παριδεῖν. 13. ὁ τοίνυν χιλίαρχος σὺν τοῖς ἄρχουσιν ἕωθεν τῇ φυλακῇ ἐπιστὰς ἐσπούδαζε τοὺς ἄνδρας τῆς πόλεως ἐξελθεῖν. σεισμῷ γὰρ τὸν οἶκον αὐτοῦ ἔφασκε πεπτωκέναι καὶ τοὺς βελτίστους τῶν θεραπόντων αὐτοῦ κατειληφέναι. οἳ δὲ ὡς ἤκουσαν φωνὰς εὐχαριστηρίους ᾄδοντες τῷ θεῷ ἀπῄεσαν ἐπὶ τὴν ἔρημον καὶ ἦσαν λοιπὸν ὁμοῦ πάντες κατὰ τὸν ἀποστολικὸν λόγον ἔχοντες καρδίαν καὶ ψυχὴν μίαν.

14. Ἐδίδασκε δὲ αὐτοὺς καθ' ἡμέραν διαπρέπειν ταῖς ἀρεταῖς καὶ τὰς μηχανὰς τοῦ διαβόλου τὰς ἐν τοῖς λογισμοῖς παρὰ τὴν ἀρχὴν εὐθὺς διακρούεσθαι. θραυσθείσης γάρ, φησί, τῆς κεφαλῆς τοῦ ὄφεως ἅπαν τὸ σῶμα νεκρόν ἐστι. τηρεῖν γὰρ ἡμῖν, φησίν, ὁ κύριος ἐντέλλεται τὴν κεφαλὴν τοῦ ὄφεως. τοῦτο δὲ ἐστίν, ἵνα μηδὲ παρὰ τὴν ἀρχὴν τοὺς φαύλους καὶ ἀπρεπεῖς λογισμοὺς διανοεῖσθαι καταδεξώμεθα, ἀλλὰ καὶ τὴν αἰσχρὰν φαντασίαν τοῦ νοὸς ἡμῶν ἀπαλεῖψαι, πειρᾶσθαι δὲ ἀλλήλους ὑπερβάλλειν ταῖς ἀρεταῖς, μή τις ἐλάττων ἐν ταῖς εὐδοκιμήσεσι ταύταις τοῦ ἑτέρου

11 Act. 4,32. **16** Cf. Gn. 3,15.

$P^2 P^5 P^1 C^1$ M L P^3 ϑ r s a] **1** ἀνασχόμενος (ε *über* α) M | ἀνασχόμενος *vor* 35,20 παρακληθῆναι P^5 | **2** φυλάττουσι] + ὃς τῷ πολλῷ P^5 | πάντας ἐν > P^5 | τὸ οἴκημα P^5 | **3** ὡς > P^5 | εἰς ἔκπληξιν P^5 | ἀχανεῖς — **4** ἀνοιχθεισῶν] καὶ φόβον μέγαν ἤγαγον αὐτούς, παραχρῆμα δὲ καὶ αἱ θύραι τῆς φυλακῆς ἀνεώχθησαν· οἱ δὲ φύλακες ἠξίουν τοὺς μοναχοὺς ἅπαντας ἀπελθεῖν ἐκεῖθεν λέγοντες P^5 | γενέσθαι] + πάντας s | καὶ > $P^1 C^1$ M | **4** ἀναστάντας Schw. | αὐτοῖς P^2 | ἀνεωχθεισῶν C^1 M | **5** γὰρ — **6** παριδεῖν] ὑμῖν ἀποθανεῖν δι' ὑμᾶς ἢ τῆς θεόθεν ὀργῆς πειραθῆναι P^5 | εἶναι] ἦν L | ////το (*1 Bst. ausr.*) C^1 | τὸ αὐτοὺς] αὐτοῖς L P^3 ϑ | ὡμολόγουν *hinter* εἶναι P^2 | **6** ὁ τοίνυν] ὁμοίως δὲ καὶ ὁ P^5 | **7** σὺν — **8** ἐξελθεῖν] ἕωθεν δρομαῖος ἐλθὼν ἐν τῇ φυλακῇ σὺν τοῖς ἄρχουσι προετρέπετο τούτους ὑποχωρεῖν P^5 | ἕωθεν] ἐν $P^1 C^1$ | τῇ φυλακῇ > M | **8** τῆς πόλεως τοὺς ἄνδρας P^2 | γὰρ P^5 s, > *rell.* | ἔφασκε *zu str.?* Schw. | **9** πεπτωκέναι ἔλεγεν P^5 | βελτίους P^1, πλείωνας P^5 | αὐτοῦ κατειληφέναι] τεθνάναι τῷ συμπτώματι P^5 | οἳ δὲ] ταῦτα P^5 | **10** φωνὰς — θεῷ] οἱ μοναχοὶ ἐξελθόντες P^5 | ἐπὶ] εἰς $P^2 P^5$ | **11** ἔρημον] + εὐχαριστηρίους φωνὰς τῷ θεῷ ἀποπέμποντες P^5 | ὁμοῦ λοιπὸν P^1 | τὸ . . . λόγιον P^5 | **13** δὲ] τε $P^2 P^5 P^3$ | ἑαυτοὺς L | **14** τὰς] + τῶν δαιμόνων P^5 | μηχανὰς — τὰς > P^5 | λογισμοῖς] + προβολὰς P^5 | **15** ἀποκρούεσθαι ϑ | φησί > $P^2 P^1 C^1$ M | **16** σῶμα] + τούτου P^5 | τηρεῖν — 17 ὄφεως] τοῦτο γὰρ ἡμῖν καὶ ὁ κύριος ἐντέλλεται τηρεῖν λέγων τὴν τούτου κεφαλήν P^5 | γὰρ > P^2 | ἡμᾶς P^2 | φησὶν > $P^2 C^1$ | κύριος] θεὸς $P^2 P^1 C^1$ M | ἐντέταλται P^1 M | **17** τουτέστιν P^5 | μηδὲ] μὴ P^1, *s. l. m. 2.* C^1, μήτι M | παρὰ > P^5 | **18** λογισμοὺς] γισ *s. l.* P^5 | καταδεχώμεθα διανοεῖσθαι P^5 | ἀλλὰ καὶ s, πολλῷ δὲ μᾶλλον P^5, μήτι γε (+ καὶ P^2) $P^2 P^1 C^1$ M, μήτε δὲ καὶ L P^3 ϑ | αἰσχρὰν] + τούτων P^5 | **19** φαντασίαν] + ταχέως ἐκ P^5 | *nach* φαντασίαν *Lücke* Schw. | ὑμῶν $P^1 C^1 P^3$ | καταλεῖψαι P^1, ἀπαλείφειν P^5 | πειρᾶσθαι δὲ] σπεύδειν δὲ παντὶ τρόπῳ P^5 | δὲ > $P^1 C^1$ M | ἀλλήλοις P^5 | ὑπερβαλεῖν L | **20** ἀρεταῖς] + καὶ P^5 | ἔλαττον $P^1 C^1$ | ἐν ταῖς — 37,1 φανείη] τοῦ ἑτέρου φαγῆναι ἐν τῇ κατὰ θεὸν προκοπῇ τε καὶ ἀρετῇ P^5. |

Digitized by Google

φανείη. 15. τεκμήριον δέ, φησίν, ὑμῶν ἔστω ἡ τῶν ἀρετῶν προκοπή, ὅταν τὴν ἀπάθειαν καὶ τὴν ἀνορεξίαν κτήσησθε· ἀρχὴ γὰρ τῶν τοῦ θεοῦ χαρισμάτων ἐστὶ ταῦτα. ὅταν δὲ καὶ θαυμάτων ἐπίδειξιν παρὰ θεοῦ κτήσηταί τις, μὴ δὴ ὡς ἱκανῶς ἔχων πεφυσιούσθω, μηδὲ ἐπαρθῇ τῷ λογισμῷ ὡς ἤδη τι πλέον παρὰ τοὺς ἄλλους τετιμημένος, μηδὲ ὡς ἐπιδεικνύμενος πᾶσιν, ὅτι τοιαύτης ἔλαχε χάριτος· εἰ δὲ μή, φρεναπατᾷ ἑαυτὸν συληθεὶς τὰς φρένας καὶ τῆς χάριτος ζημιωθείς.

16. Εἶχεν οὖν μεγάλα ταῦτα ἐν τοῖς λογισμοῖς διδάγματα, ὧν καὶ ἡμεῖς πολλάκις ὕστερον παρ' αὐτοῦ ἀκηκόαμεν. ἐν δὲ τοῖς ἔργοις μείζονα ἐπετέλει — πᾶν γὰρ αἴτημα αὐτῷ εὐθὺς ἐδίδοτο παρὰ θεοῦ αἰτουμένῳ — καὶ ἀποκαλύψεις δὲ ἑώρα τινάς. εἶδεν γὰρ τὸν ἑαυτοῦ πρεσβύτερον ἀδελφὸν καὶ αὐτὸν ἐν τῇ ἐρήμῳ τελειωθέντα καὶ μείζονα πολιτείαν ὑπὲρ αὐτὸν ἐνδειξάμενον, ᾧ καὶ αὐτὸς ἐν τῇ ἐρήμῳ πολὺν συνέζησε χρόνον. 17. καθ' ὕπνον οὖν ἐφαντάζετο σύνθρονον αὐτὸν τῶν ἀποστόλων γινόμενον καὶ τὴν κληρονομίαν τῶν ἀρετῶν αὐτῷ καταλείψαντα, καὶ ὡς ἐπρέσβευεν ὑπὲρ αὐτοῦ τὸν θεὸν ἱκετεύων ταχεῖαν αὐτοῦ τὴν μετάθεσιν ποιεῖσθαι καὶ σὺν αὐτῷ εἰς τοὺς οὐρανοὺς ἀναπαύεσθαι, εἰπόντος πρὸς αὐτὸν τοῦ σωτῆρος·

---

4 Cf. 1. Cor. 4,6. **6** Cf. Gal. 6,3. **10** Cf. Joh. 16,23 f. etc. **14** Cf. Mt. 19,28 etc.

$P^2 P^5 P^1 C^1$ M L P^3 δ r s a] **1** φανείη τοῦ ἑτέρου LP^3 δ | φησὶν > P^5 | ἔστω ὑμῶν P^2, ὑμῖν τοῦτο ἔσται P^5 | ἡ — προκοπή] τῆς τοιαύτης εὐδοκιμήσεως P^5 | **2** ἀρχὴ — 3 ταῦτα > M | **3** ἐστὶ] στι *m. 2 a. Ras.* P^1 | καὶ] + τῶν P^5LP^3 δ | κτήσηταί τις παρὰ θεοῦ P^2 | κτήσηταί τις] λάβῃ P^1, τις λάβῃ C^1 | λάβῃ τις παρὰ θεοῦ M | **4** μηδὲ ὡς δ; δὴ ὡς > $P^2 P^1 C^1$M, δὴ > P^5 | ἱκανῶς > r | ἔχων > $P^2 P^1 C^1$ M | πεφυσήσθω LP^3, φυσιούσθω $P^2 P^5$ δ | ἐπαρθήτω C^1, ὑπεραρθῇ P^5LP^3 δ, ὑπεραρθήτω P^2 | **5** πλέον > $P^1 C^1$M | πᾶσιν] φησὶν P^2 | **6** ἔλαχε] εἴληφεν LP^3, μετείληφε P^5 | εἰ δὲ μή] ἐπεὶ P^5 | συλωθεὶς C^1M, συλληθεὶς P^5L | **7** τῆς] + τοιαύτης P^5 | ζημιωθεὶς] ταχέως ἐκπίπτει P^5 | **8** εἶχεν — διδάγματα] τοιαῦτα οὖν ὁ μέγας ἀπολλῶ καθ' ἑκάστην ἐδίδασκε τοὺς ὑπ' αὐτὸν ἀδελφοὺς P^5 | εἶχεν] + μὲν $P^1 C^1$ M | λόγοις $P^2 C^1$ | **9** πολλάκις > s | παρ' αὐτοῦ ὕστερον $P^2 P^5 P^3$ | ἀκούοντες μεγάλως τὰς ψυχὰς ἐστηρίχθημεν P^5 | ἐν — 10 ἐπετέλει] θαυμαστὸς δὲ ἦν καὶ τοῖς ἔργοις P^5 | δὲ] τε P^2 | **10** πᾶν — αἰτουμένῳ] οὐδὲν γάρ, ὃ ᾐτεῖτο παρὰ θεοῦ, καὶ παρευθὺς μὴ ἐλάμβανεν· πολλὰ δὲ καὶ πρὸ τοῦ αἰτῆσαι ἐλάμβανεν, τοῦ θεοῦ τούτου δοξάζοντος ὡς οἰκεῖον αὐτοῦ καὶ γνήσιον θεράποντα P^5 | παρὰ] + τοῦ δ | **11** τινας ἑώρα P^5 | εἶδεν — 15 καταλείψαντα] ἐξ ὧν μία ἐστὶ καὶ αὕτη· ἀδελφὸν ἦν ἔχων σαρκικὸν ὁ μέγας ἀπολλῶ πρεσβύτερον αὐτοῦ τῇ ἡλικίᾳ μεθ' οὗ καὶ πολλὴν ἐν τῇ ἐρήμῳ συνέζησε χρόνον μείζονα τούτου ἀρετὴν καὶ πολιτείαν ἐνδειξάμενος καὶ θεοφιλῶς τῆς παρούσης ἐκδημήσαντα ζωῆς ἐν ταύτῃ τῇ πανερήμῳ· μετὰ οὖν τὴν ἐκείνου τελείωσιν βλέπει τοῦτον καθ' ὕπνους ὁ ἀπολλῶ σύνθρονον μὲν τῶν ἁγίων ἀποστόλων γενόμενον καὶ τὴν κληρονομίαν τῶν ἀρετῶν τούτῳ ὡς γνησίῳ ἀδελφῷ καταλείψαντα P^5 | γὰρ] + πρὸς C^1 M | πρεσβύτατον LP^3 δ | **12** ὑπὲρ αὐτὸν] ἢ αὐτὸς δ | **13** ᾧ] ὡς LP^3 | χρόνον συνέζησεν LP^3 δ | συνέζη M | **14** ὕπνους P^2 | **15** ἀρετῶν////// (*1 Bst. ausr.*) C^1 | καὶ ὡς > P^5 | ἐπρέσβευεν] δεόμενον P^5 | **16** αὐτοῦ] + καὶ P^5 | ἱκετεύοντα P^5 | ταχεῖαν] + καὶ P^5 | τὴν] + ἐκ τοῦ βίου P^5 | ποιεῖσθαι] γενέσθαι $P^2 P^5$ | **17** αὐτῷ] ἐκείνῳ P^5 | ἐν οὐρανοῖς P^5 | ἀναπαύεσθαι] + τοῦτον P^5 | εἰπόντος] + τε P^2, δὲ P^3 δ; > P^5 | εἰπόντος — σωτῆρος] πρὸς ὃν ὁ κύριος ἐδόκει ἀποκριθῆναι καὶ εἰπεῖν πάντως μὲν τοῦτο γενήσεται· οὔπω δὲ ὁ τούτου καιρός· P^5 | πρὸς αὐτὸν > P^2. |

Digitized by Google

ἔτι μικρὸν αὐτὸν χρεωστεῖν αὐτῷ χρόνον ἐπὶ τῆς γῆς πρὸς τὴν τελείωσιν [τὸν Ἀπολλῶ], ἄχρις ἂν τῆς πολιτείας αὐτοῦ πολλοὶ ζηλωταὶ ἔσωνται. λαὸς γὰρ αὐτῷ μέγας τῶν μοναχῶν ἐμπιστευθήσεσθαι ἔμελλε καὶ στρατιά τις εὐσεβής, ἵνα ἀξίαν τῶν καμάτων τὴν εὐδοκίμησιν οὕτως σχοίη παρὰ τῷ κρείττονι. ταῦτα ἑώρα, ἅπερ καὶ γέγονεν.

18. Συνελθόντων γὰρ πολλῶν [πάντοθεν ἐξ ἀκοῆς] μοναχῶν πρὸς αὐτὸν καὶ διὰ τῆς διδαχῆς αὐτοῦ καὶ τῆς ἀναστροφῆς πλείστων [παντελῶς] ἀποταξαμένων τῷ κόσμῳ, ἐγένετο συνοικία τῶν ἀδελφῶν ὁμοῦ πρὸς αὐτὸν ἐν τῷ ὄρει ἄχρι πεντακοσίων κοινὸν τὸν βίον ἐχόντων καὶ τράπεζαν μίαν διαιτωμένων. 19. καὶ ἦν ἰδεῖν αὐτοὺς ἀγγελικήν τινα ἀληθῶς στρατιὰν κεκοσμημένων κόσμῳ παντὶ λευκοφορούντων καὶ τὸ τῆς γραφῆς ἐπ' αὐτοῖς πεπληρῶσθαι λεγούσης· εὐφράνθητι ἔρημος διψῶσα· ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. πεπλήρωτο μὲν γὰρ καὶ ἐπὶ τῆς ἐξ ἐθνῶν ἐκκλησίας τὸ προφητικὸν τοῦτο λόγιον. 20. τετέλεσται δὲ καὶ ἐπὶ τῆς Αἰγυπτιακῆς ἐρήμου πλείονα τέκνα θεῷ παριστώσης ὑπὲρ τὴν οἰκουμένην γῆν. ποῦ γὰρ τοσαῦται ἐν ταῖς πόλεσι τῶν [σωζομένων] μοναχῶν ἀγέλαι, ὅσας αἱ κατ' Αἴγυπτον ἔρημοι τῷ θεῷ παριστῶσιν; ὅσοι γὰρ ἐνταῦθα λαοί, τοσοῦτοι

3 Cf. S. 33,17. **12** Is. 54,1.

$P^2P^5P^1C^1MLP^3$ ϑ r s a] **1** ἔτι] + γὰρ P^5 | αὐτὸν] χρόνον P^5; + τε P^1M; > P^2 | χρεωστεῖ P^5 | αὐτῷ χρόνον > P^5 | ἐπὶ — 3 ἐμπιστευθήσεσθαι] παραμεῖναι ὁ ἀπολλῶ ἐν τῇ γῇ πρὸς τὸ ζηλωτὰς τῆς ἰδίας ἐργάσθαι σωτηρίας καὶ πολιτείας, καθ' ὅτι πολὺς ἀριθμὸς [μέλ<λει> μο]ναχῶν ἐμπιστευθ[ῆ<ναι> αὐ]τῷ P^5 | **2** τὸν] τῷ C^1, > P^2 | τὸν Ἀπολλῶ] ὦ Ἀ. a; > LP^3 ϑ | ἔσωνται Schw., ἔσονται $P^1C^1MLP^3$ ϑ, γένωνται P^2P^5 | **3** μέγας *nach* μοναχῶν P^1C^1M | μοναχῶν] + αὐτῷ ϑ | ἐμπιστευθήσεσθαι] εσ *m. 2 s. l.* C^1, πιστευθήσεσθαι P^2 | μέλλει LP^3 ϑ, > P^5 | στρατὸς M | τις > P^1C^1M | **4** εὐσεβῶν r | <εὐσε>βὴς οὓς καὶ μιμητὰς ἐμαυτοῦ ἀκριβεῖς ποιησάμενος P^5 | ἵνα] οὕτω P^5 | ἀξίαν] τελείαν P^5, > s | εὐδοκήμησιν *aus* -σον L | οὕτος P^2, αὐτὸς P^1C^1M; παρὰ τοῦ κρείττονος P^5; > s | σχοίη P^5 ϑ, ἔχοι P^1C^1M, ἔχῃ P^2, ἔχοιη L, ἐχοίη P^3 | παρὰ — 5 κρείττονι > P^5 s | **5** ταῦτα] + μὲν οὗτος P^5 | καὶ > P^1C^1M | γέγονεν] + ὕστερον P^5 | **6** γὰρ > P^1C^1M | πάντοθεν ἐ. ἀκοῆς > P^5 s | πρὸς αὐτὸν μοναχῶν P^5 | πρὸς αὐτὸν > ϑ | μοναχῶν] + καθάπερ ἤδη καὶ προείρηται ἀλλὰ P^5 | **7** διδαχῆς *und* ἀναστροφῆς *vertauscht* s | τῆς² > ϑ | τῆς ἀναστροφῆς] νουθεσίας P^5, τ. συναναστροφῆς? Schw. | πολλῶν P^5 | παντελῶς > P^5 s | τῷ κόσμῳ ἀποταξαμένων καὶ τούτῳ τὰς ἑαυτῶν ψυχὰς ἀναθεμένων P^5 | **8** γέγονε P^5 | ἐγένετο] + δὲ C^1 | συνοίκησις P^2, συνάθροισις καὶ συνο<ικ>ία P^5 | ὁμοῦ — 9 ὄρει > P^5 | **9** ἄχρ<ι πε>ντακοσίων P^5 | ἐν μιᾷ τραπέζῃ διαιτωμένων P^5 | **10** αὐτοὺς] + ὡς P^5 | ἀληθῶς *hinter* αὐτοὺς P^2, > P^5LP^3 ϑ | στρατιὰν] πολιτείαν M | κεκοσμημένην $P^2P^5P^1C^1$, πολιτευομένους M, > P^5 | **11** ἐν τῷ κόσμῳ P^1C^1M, > P^5 | πάντῃ P^1M, πάντων C^1 | λευκοφοροῦντας τε καὶ κοσμημένους P^5 | τῆς] + θείας P^5 | ἐπ' αὐτοῖς > P^5 s | **12** πληροῦσθαι ἐπ' αὐτῆς P^2, λογίον πληροῦντες P^5 | **14** καὶ — 15 λόγιον] πρώην ἡ τοῦ θείου προφήτου ῥῆσις αὕτη καὶ ἐπὶ τῆς ἐξ ἐθνῶν ἐκκλησίας P^5 | **15** τοῦτο] ἐκεῖνο P^2P^1 | τετελείωτο P^5LP^3 ϑ | **16** τῆς > P^2 | ἐρήμου] + τότε P^5 | τέκνα] + τῷ P^1C^1M | παρεστώσης L, παριστῶσας P^5 | τὴν] + τῆς P^2 | οἰκουμένης P^2 | **17** ποῦ] οὐ P^2 | σωζομένων > s | μοναχῶν > r Schw. | ἀγέλαι μοναχῶν P^5LP^3 ϑ | ἀγέλαι] + ὥσπερ ϑ | ὅσαι $P^2P^5P^1LP^3$ ϑ; + ὡς P^2, μοναχῶν Schw. | **18** αἱ] ἐν τῇ P^5 | κατὰ τὴν αἴγυπτον M | Αἰγυπτιακὴν ϑ | ἐρήμῳ P^5, ἔρημον LP^3 ϑ | ἔρημοι] ἀγέλαι M | τῷ θ. παριστῶσιν > P^5 | παρεστῶσιν ϑ | ὅσον P^5 | ἐνταῦθα] ἐν τῇ πόλει P^5 | λαοῦ πλῆθος P^5 | τοσοῦτον P^5. |

Digitized by Google

ἐν ταῖς ἐρήμοις μοναχοί. κἀμοὶ δοκεῖ τὸ τοῦ ἀποστόλου ῥητὸν καὶ ἐπ' αὐτοῖς πεπληρῶσθαι λέγοντος· ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ἐκεῖ ὑπερεπερίσσευσεν ἡ χάρις. 21. ἐπλεόνασε γάρ ποτε ἐν Αἰγύπτῳ πολλή τις καὶ ἄσεμνος εἰδωλολατρεία, ὡς ἐν οὐδενὶ ἔθνει. κύνας γὰρ καὶ πιθήκους καὶ ἄλλα τινὰ ἐθεράπευον καὶ σκόροδα καὶ κρόμμυα καὶ πολλὰ τῶν εὐτελῶν λαχάνων θεοὺς ἐνόμιζον, ὡς αὐτοῦ τοῦ ἁγίου πατρὸς Ἀπολλῶ ἠκούσαμεν διηγουμένου περὶ αὐτῶν καὶ τῆς προτέρας πολυθεΐας τὴν αἰτίαν ἀπαγγέλλοντος. 22. τὸν μὲν γὰρ βοῦν, φησίν, ἐθεοποίουν οἱ τὸ πρὶν παροικοῦντες ἡμῖν Ἕλληνες, ἐπειδὴ δι' αὐτοῦ τὴν γεωργίαν ἐπιτελοῦντες τὴν τροφὴν ἐπορίζοντο· τὸ δὲ ὕδωρ τοῦ Νείλου, ὅτι τὰς χώρας ἁπάσας ἤρδευεν· ἐσέβοντο δὲ καὶ τὴν γῆν, ὡς εὐφορωτάτην οὖσαν παρὰ τὰς ἄλλας χώρας. 23. τὰ δὲ λοιπὰ βδελύγματα, κύνας τε καὶ πιθήκους καὶ πᾶσαν τὴν λοιπὴν ἀπρέπειαν τῶν ζώων τε καὶ λαχάνων ἐθεράπευον, καθότι προφάσεις αὐτοῖς αἱ περὶ ταῦτα χρεῖαι γέγοναν ἐν τῷ καιρῷ τοῦ Φαραὼ τοὺς ἀνθρώπους ἀπασχολῆσαι, ἡνίκα ἐκεῖνος τὸν Ἰσραὴλ διώκων κατεποντίσθη. ἕκαστος γὰρ περὶ ὃ ἠσχολήθη μὴ ἐξακολουθήσας τῷ Φαραώ, τοῦτο ἐθεοποίησε λέγων· ‚τοῦτό μοι θεὸς γέγονε σήμερον· διὸ οὐ συναπωλόμην τῷ Φαραώ'. ταῦτα μὲν ἐν λόγοις εἶχεν ὁ ἅγιος Ἀπολλῶς.

24. Πρὸ δὲ τῶν λόγων, ἅπερ ἐν τοῖς ἔργοις ἐκέκτητο χρὴ γράψαι. ἦσαν γὰρ αὐτῷ ποτε Ἕλληνες παροικοῦντες κατὰ πάντας τοὺς τόπους, καὶ κῶμαι δέκα μᾶλλον αἱ πλησίον αὐτοῦ τὴν δαιμονικὴν εἰδωλολατρείαν

---

2 Rö. 5,20. **5** Cf. Acta Apoll. (*A. Harnack*, SBBA 1893, 731 f. Analecta Bolland. XIV, 1895, 289). **14** Cf. Ex. 14,19 ff.

P2 P5 P1 C1 M L P3 δ r s a] **1** τῇ ἐρήμῳ P5 | ἐρήμοις] + ἐκεῖ LP3 δ | μοναχοί] τῶν σωζομένων μοναχῶν P5 | καί μοι C1, διό μοι καὶ P5 | καὶ ἐπ' αὐτοῖς > P5 | **2** αὐτοῖς δ s Schw., αὐτοὺς O | πληροῦσθαι δ | λέγοντος > P5 | ὅπου] + γὰρ C1 LP3 | ἐκεῖ > TP5 P1 C1 M | **3** ἐν] + τῇ P5 LP3 δ | **4** ἄσεμνος] + ἡ C1 | ἐν > L δ | **5** ἐθεράπευσαν P5, ἐσέβοντο P2, ἐθεράπευε P1, ἐθεράπευεν C1 M, ἐθεράπευον LP3 δ | καὶ2 > P5 | σκόρδα ML | κρόμυα P5 ML, κρομμύδια P3 | **6** θεοὺς] + ἀφρόνως P5 | ὠνόμαζον P2, ἐνόμισαν P5 | ἁγίου] μεγάλου P5 | πατρὸς > δ s | ἀπολλῶς LP3 δ, ἀπόλλωνος C1 M | ἠκούσαμεν P2 P5 r s a, ἤκουσα *rell.* | **7** περὶ αὐτῶν > r | **8** φασὶν LP3 δ | ἐθεοποιοῦντο C1 LP3 δ | **9** Ἕλληνες] Aegyptii r | δι' αὐτοῦ *nach* γεωργίαν P1 | τελοῦντες P2 | **10** ἐκομίζοντο P5 LP3 δ | ὅτι] ὃς δ | πάσας LP3 δ; τούτων P5, > P2; + Aegypti r | **11** ἐσέβοντο — 12 χώρας > P2 | εὐπορωτάτην P1 C1 M | **12** τὰ δὲ] [καὶ τὰ] P5 | δὲ] τε P3 δ | βδελύγματα] *nachher* τά τε λοιπὰ *ausgestr.* P3 | [<κύν>ας] P5 | τε > P1 M | **13** [<πᾶσ>α]ν P5 | ἀπρέ[<πει>α]ν P5 | ζώων] herbarum r | **14** πρόφασις P2 P5 LP3 δ | αἱ] καὶ δ | τὰ ταῦτα P1, ταύτας P5 LP3 | χρεῖαι > δ | γέγονε P2 δ | **15** ἀποσχολάσαι C1 M, ἀπασχολήσασαι P2 P1 | ἡνίκα] + ἂν P1 C1 M | τὸν > LP3 δ | Ἰσραήλ] patres nostros r | **16** ἕκαστος — ἠσχολήθη > P2 | ὃ] οὗ P2 LP3 δ | ἐξακολουθῆσαι P2 r | τῷ] τοῦ P1 L | **17** γέγονε] fecit r | γέγονε σήμερον > s | συναπωλόμην] non sequerer Pharaonem et cum eo demergerer r | **18** ἀπολλῶ P2 P5 LP3 | **19** ἔργοις] λόγοις L | χρὴ γράψαι] ταῦτα δέον μᾶλλον [γραφ]ῇ παραδοῦναι P5 | **20** γὰρ > P5 | αὐ[τῷ πο]τε P5 | ἕλληνές ποτε P1 C1 M | κατὰ — τόπους > r | πάντας] *a. Ras.* M; πολλοὺς ὡς εἰπεῖν P5 | τοὺς > P5 | **21** κώμας P2 | δέκα P1 C1 M r s a, δὲ καὶ LP3 δ, δέ τινες P5, καὶ P2 | δαιμονικὴν > P5 | εἰδωλολατρείαν] πλάνην δ. |

Digitized by Google

ἐσέβοντο. 25. ναὸς δὲ ἦν μέγιστος ἐν μιᾷ τῶν κωμῶν καὶ εἴδωλον ἐν αὐτῷ ἐπιφανέστατον. ξύλινον δὲ ἄρα τὸ ξόανον τοῦτο ἦν. ἐπόμπευον δὲ περιφέροντες αὐτὸ κατὰ τὰς κώμας οἱ ἱερεῖς βακχεύοντες μετὰ τοῦ πλήθους, ὡς δὴ ὑπὲρ τοῦ ποταμίου ὕδατος τὴν τελετὴν ἀποδιδόντες. 26. συνέβη δὲ κατ' ἐκεῖνον τὸν καιρὸν ἐκεῖθεν παριέναι τὸν ἅγιον Ἀπολλῶ ἅμα τισὶν ὀλίγοις ἀδελφοῖς. ὡς δὲ εἶδεν τὸ πλῆθος [ἐξαίφνης] δαιμονιωδῶς κατὰ τὴν χώραν μαινόμενον, κάμψας τὰ γόνατα καὶ προσευξάμενος τῷ σωτῆρι πάντας [ἐξαίφνης] τοὺς Ἕλληνας ἀκινήτους ἐποίησεν. ὡς δὲ προελθεῖν ἐκείνου τοῦ τόπου οὐκ ἠδύναντο, ἄλλος τὸν ἄλλον ὠθοῦντες, καὶ ἐφρύγοντο τῷ καύματι πανημέριοι τὸ συμβὰν αὐτοῖς ἀποροῦντες, πόθεν γεγένηται· τότε οἱ ἱερεῖς αὐτῶν ἔφασκον, Χριστιανόν τινα εἶναι ἐν τοῖς ὁρίοις αὐτῶν καταμένοντα εἰς τὴν ἔρημον καὶ ταῦτα αὐτοῖς ἐνεργοῦντα, τὸν Ἀπολλῶ λέγοντες, καὶ δεῖν αὐτὸν ἱκετεύειν, ἵνα μὴ κινδυνεύσωσιν. 27. ὡς δὲ οἱ πόρρωθεν προσοικοῦντες τὰς φωνὰς καὶ τὸν θρῦλον ἀκούσαντες παρεγένοντο, ἠρώτων· ‚τί τὸ συμβὰν ὑμῖν ἐξαίφνης, ἢ πόθεν γέγονεν τὸ τοιοῦτον;' οἱ δὲ οὐκ εἰδέναι ἔφησαν, πλὴν ἐν ὑποψίᾳ εἶναι περὶ τοῦ ἀνδρὸς λέγοντες, ὅτι

$P^2P^5P^1C^1MLP^3$ ð r s a] **1** ἐσέβοντο] θερμῶς ἠσπάζοντο P^5 | μέγιστος ἦν P^5 | καὶ] ἐν ῷ P^5 | ἐν αὐτῷ > P^5 | **2** ἐπιφανέστατον — ἦν > r | ἐπιφανέστατον] + ἵδρυτο P^5 | ἄρα > P^1 | ἦν] ὑπῆρχεν P^5 | ἐπόμπευον — 3 πλήθους] πολλάκις δὲ λαμβάνοντες αὐτὸ ἐκ τοῦ ναοῦ τὸ πλῆθος τῆς κώμης καὶ οἱ μιαροὶ τούτων ἱερεῖς ἐπόμπευον περιφέ<ρον>τες κατὰ τὰς λοιπὰς <κώ>μας βακχεύοντες δὴ <ἔκ?>φρονες P^5 | **3** αὐτῶ P^1L | οἱ] + μιαροὶ P^3 ð, μειαροὶ L | **4** ὡς δὴ] καὶ ὡς P^5, ῷ καὶ P^2 | ποταμιαίου P^5LP^3 ð | ἀπεδίδων P^2, ἀποδόντες LP^3 ð, ἐπιδιδόντες M, ἐπάδοντες P^5 | **5** ἐκείνου C^1, ἐκείνω P^1M | τὸν > P^1C^1M | καιροῦ P^1C^1M | ἐκεῖσε P^5 | παρεῖναι P^1C^1M, περιιέναι P^2 | ἅγιον > P^1C^1M | τισὶν *d. Ras. aus* τησὶν L | **6** ἀδελφοῖς ὀλίγοις P^1C^1M | ἐξαίφνης] αὐτῶν s, > r | τὴν *m. 1 s. l.* M | **7** κάμψας] + δὲ P^3 | καὶ προσευξάμενος] εἰς εὐχὴν P^5, > LP^3 ð | τοῦ σωτῆρος εὐθὺς καὶ παραχρῆμα P^5 | σωτῆρι] + χριστῶ P^2 | πάντων s | **8** ἐξαίφνης > P^5L r s | παρελθεῖν P^1C^1M | ἐκείνου *nach* 9 τόπου L | **9** ἠδύνοντο P^3 | ἄλλος — καὶ > r | ἄλλος — ἄλλον] ἀλλ' P^5 | ὠθοῦντες] + ἀλλή<λ>ους P^5 | καὶ > P^2C^1M ð | ἐφρύγοντο] ἐφρύσσοντο P^2, ἔμενον ἐν τῷ τόπω φρυ<γόμ>ενοι ἐν P^5; + ἐν P^1M | **10** πανημέριον P^5LP^3 | ἀποροῦντες] ἀγνωοῦντες C^1; + καὶ P^5 | πόθεν] ὅθεν P^2; *danach ein Bst. ausr.* L; + τε P^3, τοῦτο P^5 | γεγέννηται P^1, γέγονεν ἀγνοοῦντες P^5 | τότε — 11 ἔφασκον] λέγουσι πρὸς ἀλλήλους οἱ τούτων ἱερεῖς πάντος P^5 | **11** χριστιανὸν *nach* καταμένοντα P^1 | χριστιανός τις P^5 | Χριστιανὸν — 12 καὶ] τὸν κατὰ τὴν ἔρημον P^2 | εἶναί τινα P^1C^1M | εἶναι > P^5 | ἡμῶν P^5 | καταμένοντα] κατοικεῖ P^5 | **12** εἰς] ὑπὸ P^1C^1M | ἐν τῇ ἐρήμω P^5 | καὶ > P^1C^1M | καὶ αὐτὸς ἡμῖν ἐνεργεῖ ταῦτα P^2 | αὐτοῖς] αὐτὸν P^5C^1M | τὸν — 13 καὶ > P^5 | ἀπόλλωνα C^1 | λέγοντες] ἔφασκον LP^3 ð | **13** δεῖ οὖν P^5 | ἱκετεῦσαι τοῦτον P^5 | ἵνα] εἰ δὲ $P^2P^1C^1$M ð | κινδυνεύουσιν P^2P^1M, κινδυνεύσομεν C^1, κινδυνεύσουσιν P^3, κακῶς ἀπολλώμεθα κινδυνεύοντες ἐν τῷδε τῷ τόπω· τοῦτον δὲ ἔλεγον εἶναι τὸν ἀπολλῶ P^5 | μακρόθεν P^5 | **14** οἰκοῦντες P^5 | βοὰς P^5LP^3 | τὸν > P^5 | θρῦλον] θρῆλον P^2; + τοῦ <πλή>θους P^5 | παρεγένοντο//// *1 Bst. ausr.* C^1; + πρὸς αὐτοὺς P^5, καὶ MLP^3 ð | **15** ἠρώτων] + δὲ P^1; > P^5 | τι] + φασιν LP^3 ð | ἐξαπίνης P^2LP^3 ð | ἢ — τοιοῦτον] διηρώτων P^5 | τὸ τοιοῦτον > P^2LP^3 ð | οἱ — 16 ἔφησαν] ἀπεκρίνοντο ἐκεῖνοι μὴ εἰδέναι ὅλως P^5 | **16** ἔλεγον P^2, ἔφασκον LP^3 ð | πλὴν — τοῦ > LP^3 | ὑποψίαις P^1M ð | εἶναι — λέγοντες] ἐσμὲν φησὶν ὅτι ἀνὴρ τίς χριστιανὸς οἰκῶν ἐνταῦθα πλησίον ἐν τῇ ἐρήμω· ἐκεῖνος ἡμῖν τοῦτο εἰργάσατο P^5 | ἀνδρός] + *des Christen, der am Hange des Berges wohnt* s | λέγοντος ð | ὅτι] ὡς ð, καὶ P^5. |

Digitized by Google

δεῖ ἐξιλεοῦσθαι ἐκεῖνον· οἱ δὲ καὶ ἐμαρτύρουν ὡς θεασάμενοι αὐτὸν παριόντα. 28. καὶ ὡς ἠξίουν αὐτοὺς ταχεῖαν αὐτοῖς γενέσθαι τὴν βοήθειαν, ταύρους ἀγαγόντες μετακινεῖν τὸ εἴδωλον ἐπειρῶντο. τὸ δὲ ὡς ἀκίνητον σὺν αὐτοῖς τοῖς ἱερεῦσι διέμενε, μηδεμίαν ἑτέραν μηχανὴν ἐφευρόντες πρεσβείαν διὰ τῶν παροικούντων πρὸς τὸν Ἀπολλῶ ἔπεμπον, ὥστε ἀπαλλαγέντας ἐκεῖθεν ἀποστῆναι τῆς πλάνης. 29. τούτων δὲ τῷ ἀνδρὶ δηλωθέντων κατῆλθεν ὡς τάχιστα πρὸς αὐτοὺς ὁ τοῦ θεοῦ ἄνθρωπος καὶ προσευξάμενος πάντας ἔλυσε τοῦ δεσμοῦ. οἱ δὲ ὁμοθυμαδὸν ἅπαντες πρὸς αὐτὸν ὥρμησαν τῷ σωτῆρι τῶν ὅλων καὶ παραδοξοποιῷ θεῷ καταπιστεύσαντες <ἑαυτοὺς> καὶ τὸ εἴδωλον εὐθὺς τῷ πυρὶ παραδόντες. οὓς ἅπαντας κατηχήσας καὶ βαπτίσας ταῖς ἐκκλησίαις προσέθηκεν. πολλοὶ δὲ αὐτῶν μέχρι τοῦ νῦν ἐν τοῖς μοναστηρίοις διάγουσιν. διέδραμε δὲ πανταχοῦ ἡ φήμη περὶ αὐτοῦ καὶ ἐπίστευσαν πολλοὶ δι' αὐτοῦ ἐπὶ τὸν κύριον, ὡς μηκέτι ἐν τοῖς ὁρίοις ἐκείνοις Ἕλληνα ὀνομάζεσθαι.

30. Μετ' οὐ πολὺ δὲ τοῦ χρόνου δύο κῶμαι πρὸς ἀλλήλας συμβάλλουσιν [εἰς] πόλεμον ὑπὲρ ἀρουρῶν διαμαχόμεναι. ὡς δὲ ἔμαθεν ὁ ἅγιος, εὐθὺς κατήει πρὸς αὐτούς, διαλλάσσων αὐτοὺς εἰς εἰρήνην. 31. οἱ δὲ ἐξ ἐναντίας οὐκ ἐπείθοντο, ἀλλ' ἦσαν αὐτῷ ἀντιλέγοντες ἐφ' ἑνί τινι ἀρχιληστῇ πεποιθότες ὡς γενναιοτάτῳ πρὸς πόλεμον. ἰδὼν

$P^2P^5P^1C^1MLP^3$ ð r s a] **1** τοῦτον ἐξιλεώσασθαι, ὥστε μὴ τελείως ἡμᾶς ἀπολέσθαι P^5 | οἱ δὲ καὶ] ὡς δὲ τοῦτο οἱ ἐλθόντες ἤκουσαν P^5 | προσεμαρτύρουν P^5 | ὡς — παριόντα] καὶ αὐτοὶ ἰδεῖν τοῦτον πρὸ ὀλίγου παριόντα ἐντεῦθεν P^5 | **2** καὶ] + εὐθὺς τὸ πλῆθος σὺν τοῖς ἱερεῦσιν πολλὰ τοὺς ἐξελθόντας παρεκάλουν ἀξι<οῦν>τες P^5 | αὐτοὺς] αὐτοῖς ð, > P^5 | ταχέως P^5 | αὐτοῖς] πρὸς τὸν ἄ<νδρ>α P^5, αὐτῶν M, > P^2P^1 ð | γενέσθαι] + καὶ ὀρέξαι τούτοις P^5 | τὴν > P^5 | ταύρους ἀγαγόντες] ἐβόων δὲ τὸ πλῆθος σὺν τοῖς ἱερεῦσιν P^5 | βόας LP^3 ð | **3** ἄγοντες C^1M | καὶ ἐπειρῶντο μετακινεῖν τὸ εἴδωλον P^5 | τὸ δέ > LP^3 | ὡς > P^2P^5 ð | **4** τοῖς ἱερεῦσι > P^5 | διέμεινε P^2; + καὶ $P^2P^5LP^3$ ð | μηδεμίαν] + τοίνυν P^2 | ἑτέραν] *nach* μηχανὴν P^2, > P^5 | μηχανῆς LP^3 ð | εὑρίσκοντες P^5 | πρεσβείαν — 5 παροικούντων] πάλιν τοὺς ἐλθόντας παρεκάλουν ἀπελθεῖν P^5 | **5** ἔπεμπον > P^5 | **6** ἀνδρὶ] ἁγίῳ P^2 | **7** πρὸς αὐτοὺς *nach* ἄνθρωπος ð | ὁ — ἄνθρωπος *nach* προσευξάμενος P^2P^5 | <προσ>ευξάμενος] + εὐθὺς P^5 | πάντων . . . 8 τοὺς δεσμοὺς $P^2P^1C^1M$ ð | **8** πάντες $P^2P^5LP^3$ ð | ἐπ' P^1C^1M | ἔδραμον P^2 | τῷ — 10 παραδόντες] καὶ παραχρῆμα τὸ εἴδολον πυρὶ δόντες ὡς ἦν ἄξιον τῶ σωτῆρι καὶ ἀληθινῶ θεῶ καὶ τῶ αὐτοῦ θεράποντι ἑαυτοὺς κατεπίστευσαν P^5 | σωτῆρι] + τε P^2 | **9** παραδόξωι L | θεῷ > s | πιστεύσαντες ð s | <ἑαυτοὺς> + Schw. | καὶ M, > *rell.* | τὸ] + δὲ P^3 | **10** παρέδωκαν P^2 ð | πάντας P^2; + καὶ P^5 | βαπτίσας s, ὁ ἅγιος καὶ τῶ ἁγίω βαπτίσματι ἀναγεννήσας P^5, > *rell.* | τῇ (+ τῶν πιστῶν P^5) ἐκκλησίᾳ P^5 r | **11** παρέδωκε P^1, προστέθεικε P^2, προσ//////έθηκεν L | τούτων P^5 | τοῦ] καὶ P^5, > C^1MLP^3 ð | **12** οὕτως τοίνυν διέδραμεν P^5 | δὲ] γὰρ P^2, > P^5 | πανταχῇ P^3, > P^5 | ἡ περὶ αὐτοῦ φήμη (+ πανταχοῦ P^5) P^2P^5 | πολλοὶ ἐπίστευσαν LP^3 ð | δι' αὐτοῦ s, *cf.* P^5, > *rell.* | πολλοὶ δι' αὐτοῦ καθ' ἑκάστην ἐπίστευον P^5 | πολλοὶ *hinter* 13 κύριον P^2 | **13** ὥστ' <ἐν?> δὸν προιόντος τοῦ χρόνου μηκέτι P^5 | ἕλλην ὀναμάζεσθαι ἐν τοῖς ὁρίοις ἐκείνοις P^5 | ἐκείνοις s, *cf.* P^5, αὐτοῦ (τοῦ *a. Ras.* M) *rell.* | ἕλληναϊ P^3, ð | ὠνομάζεσθαι] ω *aus* ο *u. v.* L | **14** πολὺν P^2P^5 | τοῦ > $P^2P^5P^1$ | χρόνον $P^2P^5P^1$ | ἐμβάλλουσιν ð | **15** εἰς > $P^2P^1C^1M$ | διαμαχόμεναι ὑπὲρ ἀρουρῶν P^5 | δὲ] + τοῦτο P^2P^5 | ἔμαθεν ὁ ἅγιος P^5 s, ἀπηγγέλη (ἀπηγγέλθη P^1) τῶ ἀνδρί *rell.* | **16** κατίη C^1M, κατίει P^1L, κάτεισι P^2, κατέρχεται P^5 | αὐτοὺς[1]] τὰ P^2 | τούτους P^5 | πρὸς P^2P^5 ð | **18** γενναιοτάτου P^1C^1M | ὃν ἴ<δε>ν ὁ ἀπολλῶς P^5. |

Digitized by Google

δὲ αὐτὸν ὁ Ἀπολλῶς ἀντιλέγοντα εἶπε πρὸς αὐτόν· ‚εἰ πεισθῇς μοι, ὦ φίλος, ἐρωτήσω μου τὸν δεσπότην ἀφεθῆναί σου τὰς ἁμαρτίας‘. ὁ δὲ ὡς ἤκουσεν τὸν λόγον, οὐ διημέλλησεν, ἀλλὰ ῥίψας τὰ ὅπλα τοῖς γόνασιν αὐτοῦ προσέπεσε καὶ μεσίτης εἰρήνης γενόμενος τοὺς ἰδίους εἰς τὰ ἴδια ἀπέστρεψεν. 32. τῶν δὲ εἰρηνευσάντων καὶ ἀπελθόντων ὁ διαβόητος αὐτῶν πρόμαχος εἵπετο λοιπὸν τῷ ἀνδρὶ τὴν ὑπόσχεσιν φανερῶς ἀπαιτῶν. ὃν προσλαβόμενος ὁ μακάριος Ἀπολλῶς ἐν τῇ [πλησίον] ἐρήμῳ ἐνουθέτει καὶ παρεκάλει μακροθυμεῖν· δυνατὸν [γὰρ] εἶναι τὸν θεὸν λέγων τοῦτο αὐτῷ παρασχεῖν. 33. ὡς δὲ ἡ νὺξ ἐπέστη [καὶ δὴ] ἄμφω κατ’ ὄναρ [ἦσαν ἐν οὐρανῷ τῷ βήματι τοῦ Χριστοῦ παρεστῶτες·] ἐθεώρουν [δὲ καὶ] τοὺς ἀγγέλους σὺν τοῖς δικαίοις τῷ θεῷ προσκυνοῦντας. ὡς δὲ καὶ οὗτοι πεσόντες ὁμοῦ ἐπὶ πρόσωπον προσεκύνησαν τῷ σωτῆρι, φωνὴ πρὸς αὐτοὺς γέγονε τοῦ θεοῦ λέγοντος· τίς κοινωνία φωτὶ πρὸς σκότος ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; τί δὲ καὶ ὁ ἀνδροφόνος σὺν τῷ δικαίῳ παρέστηκεν ἀνάξιος ὢν τῆς τοιαύτης θεωρίας; ἀλλ’ ἄπελθε σύ, ὦ ἄνθρωπε· κεχάρισται γάρ σοι ὁ ὀψιγόνος οὗτος πρόσφυξ‘. 34. ἄλλα τε πολλὰ θαύματα ἰδόντες τε καὶ ἀκούσαντες, ἃ οὔτε λόγος τολμᾷ φράσαι, οὔτε οὖς ἀκοῦσαι, ἔξυπνοι γενόμενοι τοῖς

---

10 Cf. Apoc. 4,10. **13** 2 Cor. 6,14 f.

$P^2P^5P^1C^1MLP^3$ 𝔡 r s a] **1** δὲ] οὖν P^2P^1M, οὖν καὶ C^1 | ὁ ἀπολλῶ (ἀπολλῶς C^1) *nach* ἀντιλέγοντα P^1C^1M | ὁ] + θεσπέσιος P^2 | ἀντιλέγον<τα> καὶ θρασυνόμενον P^5 | λέγει αὐτῶ P^2L; λέγει π. α. P^5 | ἐὰν P^5 | πεισθείης P^1M, πείθη P^2 | ὦ] ὡς $P^2P^5P^1LP^3$ | φίλος] + ἐγὼ P^5 | **2** μου *nach* δεσπότην P^5 | ἀφεθῆναι] καὶ συγχωρήση P^5 | σοι P^2P^3 𝔡 | τὸν λόγον P^5 s, > *rell.* | **3** οὐκ ἐμέλησεν LP^3, οὐκ ἠμέλησεν P^5, οὐκ ἤμελλεν P^2, οὐκ ἐμέλλησεν 𝔡 | ἀλλ’ εὐθὺς P^5 | τοῖς τούτου γόνασιν P^5 | προσικέτευε C^1M, προσικέτευε////// P^1, προσικέτευσεν LP^3 𝔡, ἱκετικῶς προσέπιπτε P^2, προ-(f. 218 b)προσέπεσεν P^5, s | καὶ] οὕτω δὴ P^5 | **4** μεσίτης — γενόμενος > s | εἰρήνης] + ὁ ἀπολλῶς P^5; > P^1 | τοὺς — ἀπέστρεψεν] πάντας μετ’ εἰρήνης καὶ ἀγάπης ἀπέλυσεν εἰς τὰ ἴδια P^5 | τοῖς οἰκείοις L | οἰκείους P^2 | ἐπέστρεφεν εἰς τὰ ἴδια P^2 | ὑπέστρεψεν L | τῶν δὲ] τούτων 𝔡, ἐκείνων P^5 | **5** εἰρηνευσάντων] + μὲν P^1; > P^2 | καὶ > P^5 | ἀπελθόντων] + τότε LP^3 𝔡, μόνος τούτων P^5 | αὐτῶν > P^5 | ἠκολούθη τῶ ὁσίω P^5 | **6** φανερὰν P^1C^1, > r | φανεροῦς *von j. Hd. zu* φανερῶς *corr.* P^5 | **7** ἀπολλῶ P^1M, > P^5 | καὶ ἐν τῇ P^5 | πλησίον > P^5 s | ἐρήμῳ] + μεθ’ ἑαυτοῦ ἀγαγῶν P^5 | ἐνουθέτει] + λέγων αὐτῶ P^5 | καὶ παρεκάλει > P^5 | μακροθύμησον τέκνον P^5 | **8** δυνατὸς P^5 s | γὰρ > P^1M s | ἐστὶν ὁ θεὸς P^5 s | λέγων > P^5 | τοῦτο λέγων τὸν θεὸν 𝔡 | τοῦτο] αὐτὰ P^2 | αὐτῷ > P^5 𝔡 s | παρασχεῖν] + σοι P^5 s | **9** καὶ δὴ > P^2P^5 r s | ἄφνω P^1C^1, ἀμφότεροι ἄφνω M, ἀμφότεροι P^2P^5 | *nach* ἄμφω + <ἐκάθευδον ἄμφω> Schw. | καθ’ ὕπνον ἔβλεπον ὁμοῦ τε τῶ P^5 | ἦσαν] εἶδον P^2 r | ἦσαν — παρεστῶτες > s | ἦσαν *nach* οὐρανῶ $P^1(C^1)M$ | οὐρανῷ] + ἀμφότεροι C^1 | **10** Χριστοῦ] + ἐν οὐρανῶ P^5 | παριστάμενοι P^1, παρεστῶτας P^2 | παρεστῶτες] + καὶ C^1 | δὲ] οὖν M, > $P^5P^1C^1$ s | καὶ] ἀμφότεροι LP^3 𝔡, > P^5 s | **11** ὡς — ὁμοῦ] πεσόντες οὖν καὶ αὐτοὶ ἅμα P^2 | ὁμοῦ πεσόντες P^5 | ἐπὶ πρόσωπον P^1 s, > $P^2P^5MLP^3$ 𝔡; *in mg. m. 1* C^1 | **12** προσεκύνουν P^5 | σωτῆρι] θεῶ C^1 r Χριστῷ s; + καὶ P^2 | τοῦ θ. γέγονεν P^5 | ἐγένετο P^1C^1M | τοῦ θεοῦ > P^2 | λέγουσα P^2P^1 r | **13** ἢ > P^5 𝔡 | πιστῶν L | **14** καὶ > P^2 | ἀνδροφόνος] + οὗτος P^1 | παρέστηκε *vor* σὺν P^1C^1M | **15** ἀλλὰ P^5P^1M | σύ *m. 1. s. l.* C^1; > P^2 | ὦ > P^5 | σοὶ γὰρ P^5LP^3 𝔡 | γὰρ > C^1 | **16** πάμπολλα C^1MP^3 𝔡, > P^5 | θαυμάσια P^2 | θαυμαστὰ καὶ ἐξέσια πάμπολλα P^5 | τε > P^2L | **17** ἅπερ P^5 | λόγω φράσαι δυνατὸν P^5 | ἀκοῆ δέξασθαι (> οὖς) P^5 | ὑπακοῦσαι P^1M | γίνονται καὶ P^5LP^3 𝔡. |

Digitized by Google

συνοῦσιν ἀπήγγελον. θαῦμα δὲ πάντας εἶχεν ἐξαίσιον, τὸ ἓν δρᾶμα ἀμφοτέρων διηγουμένων. διέμενε γοῦν σὺν τοῖς ἀσκηταῖς ὁ οὐκέτι ἀνδροφόνος ἄχρι τῆς τελευτῆς τὸν ἑαυτοῦ τρόπον διορθωσάμενος οἷον ἀρνίον τι ἄκακον ἐκ λύκου μεταβληθείς. 35. ἐπληροῦτο δὲ καὶ ἐπ' αὐτῷ ἡ προφητεία Ἡσαίου λέγοντος· λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται καὶ λέων καὶ βοῦς ἅμα φάγονται ἄχυρα. ἦν γὰρ ἰδεῖν ἐκεῖ καὶ Αἰθίοπας σὺν τοῖς μοναχοῖς ἀσκοῦντας καὶ πολλοὺς ὑπερβάλλοντας ἐν ταῖς ἀρεταῖς καὶ πεπληρωμένην ἐπ' αὐτοῖς τὴν γραφὴν λέγουσαν· Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ.

36. Ἄλλοτε δὲ ἦσαν Ἕλληνες πρὸς Χριστιανοὺς κωμῆται διαμαχόμενοι ὑπὲρ ὁρίων αὐτῶν. πλῆθος δὲ ἦν ἑκατέρων ἐνόπλων. οἷς ἐπέστη ὁ Ἀπολλῶς εἰρηνεύων. ἀνθίστατο δὲ αὐτῷ ὁ τῶν Ἑλλήνων πρόμαχος δεινός τις καὶ ἄγριος ὢν διαβεβαιούμενος καὶ λέγων, μὴ δώσειν εἰρήνην ἄχρι θανάτου. ὁ δὲ φησὶν πρὸς αὐτόν· ‚καὶ δὴ γενέσθω, ὅπερ εἵλου. οὐδεὶς γὰρ ἕτερος ἀναιρεθήσεται πλήν σου. ἔσται δέ σοι θανόντι οὐχ ἡ γῆ τάφος, ἀλλὰ γαστέρες θηρίων καὶ γυπῶν πλησθήσονται ἀπό σου‘. 37. καὶ δὴ ὁ λόγος εὐθὺς εἰς ἔργον γέγονεν, οὐδενὸς ἐξ ἑκατέρου μέρους ἀναιρεθέντος πλὴν τοῦ προμάχου· ὃν καὶ χώσαντες ἐν τῇ ἄμμῳ πρωὶ εὗρον εἰς μέλη ἐσπαραγμένον ὑπὸ γυπῶν καὶ ὑαινῶν. οἱ δὲ ὡς εἶδον τὸ θαῦμα καὶ τὴν τοῦ λόγου ἔκβασιν πάντες τῷ σωτῆρι πιστεύσαντες προφήτην αὐτὸν ἀνεκήρυττον.

38. Ἦν δὲ πρὸ τούτου ἐν τῷ σπηλαίῳ τοῦ ὄρους ὁ ἅγιος Ἀπολλῶς

5 Is. 65,25. **8** Ps. 67,31.

P^{2}P^{5}P^{1}C^{1}MLP^3 ϑ r s a] **1** συνοῦσιν] + πάντα P^5 | ἀπαγγείλαντες P^5 | θαῦμα — 2 διηγουμένων] πάντας θαυμάσαι καὶ ἐκπλαγῆναι ἐποίησαν· ἀμφότεροι γὰρ τὸ δρᾶμα ἐξηγοῦντο εἰς ἐπίκοον πάντων P^5 | πάντα C^1, *die, die ihre Geschichten hörten* s | ἔσχεν LP^3 | ἓν > LP^3 ϑ | **2** διέμεινε P^{5}P^{1}C^1 | οὖν P^{1}C^{1}M, δὲ P^5 | οὐκέτι ἀνδροφόνος] ἀρχιλῃστὴς s | **3** τρόπον] + καλῶς P^5 | διορθούμενος M; + παραδόξως P^5 | οἷον] + εἰς P^2 | ἄρνα P^2 | **4** τι > P^{2}P^5 | ἄκακον > P^5 r | μεταβληθὲν P^5 | καὶ *nach* αὐτῷ P^2 | ἐπ' αὐτῷ *nach* 5 λέγοντος P^{1}C^1, > M r | **5** Ἡσαίου > P^5 | λέγουσα P^5 | τότε βοσκηθήσονται ἅμα λύκοι P^5 | **6** καὶ^1] ὡς TM | ἅμα > TM | φάγεται TM | χόρτον C^1 | ἐκεῖ ἰδεῖν P^2, ἐκεῖ *nach* Αἰθίοπας P^{1}C^{1}M | **8** ἐπ'] ἐν P^2 | γραφὴν] + τὴν P^2 | **9** αὐτοῖς P^2, > s | **10** δὲ > P^{2}P^{1}C^{1}M | Ἕλληνες > P^{1}C^{1}M | κωμήτας P^5, κωμῖται P^{1}C^{1}M, κώμης τινὸς P^2, > s | διαμαχόμενοι] + ἕνεκεν (*neben* ὑπὲρ!) P^2 | **11** ὑπὲρ] + τῶν M | πλῆθος — ἐνόπλων > s | ἔνοπλον P^2; + ὄντων P^5 | ἐπιστὰς P^5 | ἀπολλὼν C^1, ἀπολλῶ P^{5}M | **12** εἰρηνεύων] τὰ πρὸς εἰρήνην τούτοις παρῄνει P^5 | αὐτῷ > P^5 | δεινὸς — 13 καὶ^2 > s | **13** ὢν *nach* 12 τις P^2 | ἄγριος] γ *u.* ρ *s. T. a. Ras.* C^1 | οὐ μὴ P^5 | δώσω P^{5}P^3 ϑ | μέχρι P^2 | **14** ὁ δὲ] καὶ P^5 | αὐτὸν] + ὁ ἅγιος P^5 | δὴ] δεῖ LP^3, δεῖ πρός σε P^2 | γενέσθαι L | ὥσπερ εἶπας s | εἵλου P^2, εἵλω *rell.* | **15** σὺ LP^3 ϑ | σοῦ] + μόνου P^5 | θανόντι] θαρροῦντι C^1, > s | **16** καὶ^1 — σου > s | πλησθήσονται — σου > r | ἀπὸ] σαρκῶν P^2 | **17** εὐθὺς εἰς] φησίν M | εὐθὺς *nach* ἔργον P^2 | εἰς > P^{5}P^{1}C^1 | ἐγένετο P^{1}C^1 | **18** τῇ > C^1 | ψάμμῳ P^2 | μέρη καὶ μέλη P^2 | **19** διασπαραχθέντα P^5 | ὑαινῶν καὶ γυπῶν βεβρωμένον P^2 | θηρίων καὶ γυπῶν P^5 | γυπῶν] λύκων P^{1}C^1 | **20** τὸν ἀπολλῶ P^5 r | **21** ἐκήρυττον P^{1}C^{1}M, ἀπεκάλουν P^2 | **22** δὲ] + ἔτι P^{2}LP^3 ϑ | τούτου] + ἔτι P^5 | τοῦ ὄρους > P^5 | ἀπολλῶ P^5. |

Digitized by Google

σὺν πέντε τισὶν ἀδελφοῖς, οἳ πρῶτοι πρὸς αὐτοῦ ἐμαθητεύοντο νεωστὶ τῆς ἐρήμου ἐληλυθότες. ἐπῆλθε δὲ ἡ ἑορτὴ τοῦ πάσχα καὶ τὴν λατρείαν τῷ θεῷ ἐν τῷ σπηλαίῳ ἀποπληρώσαντες ἔμελλον τὰ εὑρισκόμενα διαιτᾶσθαι. ἦσαν δὲ ἄρτοι ὀλίγοι ξηροὶ καὶ σύνθετά τινα λάχανα. 39. καὶ δὴ πρὸς αὐτοὺς ὁ Ἀπολλῶς ἔφη· ‚εἰ πιστοὶ ἐσμέν, ὦ τέκνα, καὶ γνήσιοι τοῦ Χριστοῦ παῖδες, αἰτησάσθω ἕκαστος ἡμῶν παρὰ θεοῦ, ὃ καταθύμιον ἔχει πρὸς τὴν μετάληψιν‘. 40. οἱ δὲ ὡς αὐτῷ τὸ πᾶν ἐπέστρεψαν ἀναξίους ἑαυτοὺς ἡγούμενοι ταύτης τῆς χάριτος, φαιδρῷ τῷ προσώπῳ προσευξαμένου αὐτοῦ καὶ πάντων τὸ ‚ἀμὴν‘ εἰρηκότων, εὐθὺς ἐπέστησαν τῷ σπηλαίῳ νυκτός τινες ἄνδρες ἄγνωστοι παντελῶς καὶ πόρρωθεν ἑαυτοὺς ἥκειν φάσκοντες πάντα φέροντες, ὅσα οὐδ᾽ εἰς ἀκοὴν αὐτῶν ἐληλύθει καὶ ὅσα ἐν Αἰγύπτῳ οὐ γίνονται, καρποὺς παντοδαποὺς παραδείσου, σταφυλὰς καὶ ῥοὰς καὶ σῦκα καὶ κάρυα παρὰ καιρὸν ἅπαντα εὑρημένα, καὶ μέλι καὶ κηρία τινὰ καὶ γάλακτος νεαροῦ στάμνον καὶ νικολάους παμμεγέθεις, ἄρτους δέκα καθαροὺς καὶ θερμοὺς [ξένης χώρας αὐτοῖς νομιζομένους]. 41. οἱ δὲ κομίσαντες αὐτὰ ἄνδρες ἐπιδόντες [μόνον] ὡς παρά τινος μεγάλου ἀνδρὸς καὶ πλουσίου ἀποσταλέντα εὐθὺς μετὰ σπουδῆς ἀνεχώρησαν. μεταλαβόντες δὲ τῶν ἐδωδίμων ἄχρι πεντηκοστῆς ἐξ αὐτῶν ἐπηρκέσθησαν, ὥστε θαυμάζειν αὐτοὺς καὶ λέγειν, ὅτι· ‚ἀληθῶς ταῦτα παρὰ θεοῦ ἀπεστάλησαν‘.

42. Εἷς δέ τις τῶν μοναχῶν ἠξίου [παραχρῆμα] τὸν πατέρα δεηθῆναι

$P^2P^5P^1C^1$MLP^3 δ r s a] **1** οἳ] + καὶ P^2P^5 | πρὸς αὐτοῦ *scripsi*, παρ᾽ αὐτοῦ P^2, παρ᾽ αὐτῷ P^5, πρὸς αὐτὸν *rell.* | ἐμαθητεύθησαν P^5 | **2** ἐληλυθότος] ο² *a. Ras.* L | ἐλθούσης δὲ τῆς ἑορτῆς P^2 | δὲ] τε *s. l. m. 2* C^1, > P^5 | **3** ἐν τῷ σπηλαίῳ > $P^2P^5P^1C^1$M | ἀποπληρώσαντες] + ἐν τ. σπηλαίῳ P^5 | ἔμελλον — διαιτᾶσθαι P^2P^5LP^3 δ s a, πάντα τ. ε. διητῶντο (διαιτῶντο C^1) P^1C^1M | δὲ] + καὶ P^5LP^3 δ | **4** ὀλίγοι ἄρτοι////////// (*3—4 Bst. ausr.*) M, P^5 | τινα > $P^2P^1C^1$M | ὁ > L | **5** καὶ] + φίλοι P^5 | γνήσιοι] + καὶ P^5 | παῖδες] δοῦλοι P^5 | αἰτήσασθε δ | **6** ὑμῶν P^1C^1M | παρὰ] + τοῦ P^2 | ὃ] ὧν L | **7** ὡς > P^5 | αὐτῷ] αὐτὸ L | ἑαυτοὺς] ἑ *s. l.* L | **8** χάριτος] + ἐκείνου δὲ P^5 | φαιδρῷ] + δὲ δ | τῷ > P^2C^1M | αὐτοῦ > P^5 | **9** εἰρηκότων] *nach* εἰρη *am Ende der Zeile Ras.* L | νυκτὸς > r | ἄγνωστοι ////// ἄνδρες P^1 | **10** πόρρωθεν] + καὶ δ | αὐτοὺς MLP^3 δ | ἧκον L | πάντα] πᾶν ἐδωδίμων P^5 | φέροντες] τοιαῦτα δὲ καὶ τοσαῦτα P^5 | ὅσα] οἷα καὶ ὅσα P^5 | **11** ὅσα] οἷα οὐδὲ P^5 | οὐ > P^5 | ἐγίνοντο P^5 | γίνονται] + καὶ C^1 | καρποὶ γὰρ ἦσαν παντοδαπεῖς P^5 | **12** παντοδαπεῖς P^1 | παραδείσου] + καὶ P^1C^1M | σταφυλαὶ P^5 | καὶ > P^5 | ῥόαι P^5, ῥοιὰς P^1, ῥό//////ας L | καὶ² > P^5 | καὶ³ > P^5M | **13** ηὑρημένα M | μελίκηρα L, μελικηρία M, μελικήριον P^5 | μέλι καὶ] μέλιτος P^1 | καὶ² > P^2C^1M | κήρα P^2, κηρε P^3 | τινὰ > P^5 | νεβροῦ C^1 | νεαροστάθμον P^1 | **14** παμμεγέθεις] + καὶ P^1 | δέκα] τε P^2 r, δὲ C^1 > P^1 | θερμοὺς] + ἐκ P^1 | **15** ξένης] + τε LP^3 δ | ξένης — νομιζομένους] καὶ ἄλλα τινὰ βρώματα ἅπερ ὡς εἴρηται ἄγνωστα πολλοῖς ὑπῆρχον P^5, > s | αὐτοὺς P^1C^1M, ἄρτους P^2 | κομιζομένους MLP^3 δ | ταῦτα P^2 r | ἐπιδόντες μόνον > M | **16** μόνον > P^5 s | πλουσιωτάτου P^5 | ἀποσταλέντες P^1C^1M, σταλέντα P^5 | **17** δὲ] + οἵ τε ἀδελφοὶ καὶ ὁ ἅγιος ἐκ P^5 | ἄχρι] + τῆς P^2 | **18** ἐπιρκέσθησαν P^1, ἀπηρκέσθησαν LP^3, ἠρκέσθησαν P^2 | θαυμάζειν] πληροφορηθῆναι P^5 | καὶ λέγειν > P^5 | **19** ἀληθῶς ταῦτα > P^5 | ἀπὸ P^5 | **20** ἀδελφῶν P^5 | παρεκάλει P^5 | παραχρῆμα > P^5 s | τοῦ πατρὸς P^2, τὸν ἅγιον P^5 | δεηθῆναι ὑπὲρ αὐτοῦ] εὐχὴν ὑ. αὐτ. ποιήσασθαι P^5. |

Digitized by Google

ὑπὲρ αὐτοῦ χάριτός τινος ἀξιοῦσθαι. προσευξαμένου δὲ αὐτοῦ ἡ τῆς ταπεινοφροσύνης αὐτῷ δίδοται χάρις καὶ τῆς πραότητος, ὡς θαυμάζειν πάντας περὶ αὐτοῦ ὑπερβολὴν πραότητος κτησαμένου. 43. ἐξηγοῦντο δὲ ἡμῖν οἱ περὶ αὐτὸν πατέρες ταύτας αὐτοῦ τὰς δυνάμεις, μαρτυρούντων ταῦτα καὶ πολλῶν ἀδελφῶν.

44. Καὶ γὰρ λιμοῦ ποτε οὐ πρὸ πολλοῦ τινος χρόνου κατὰ τὴν Θηβαΐδα γενομένου ἀκούσαντες οἱ προσοικοῦντες τοῖς τόποις λαοί, ὅτιπερ οἱ περὶ αὐτὸν μοναχοὶ πολλάκις ἐξ ἀμηχάνων ἐτρέφοντο, παρῆσαν ὁμοθυμαδὸν πρὸς αὐτὸν σὺν γυναιξὶ καὶ τέκνοις εὐλογίας ἅμα καὶ τροφὴν αἰτοῦντες. ὁ δὲ μηδὲν δεδιώς, μήποτε λείψῃ τι τῶν βρωμάτων, ἐδίδου πᾶσι τοῖς ἐρχομένοις ἑκάστῳ τὸ αὐτάρκες ἡμέριον. 45. ὑπολειφθέντων δὲ τριῶν σπυρίδων μεγάλων μόνων μετὰ τῶν ἄρτων καὶ τοῦ λιμοῦ ἐπικρατοῦντος, προστάσσει εἰς μέσον φέρεσθαι τὰς σπυρίδας, ἃς οἱ μοναχοὶ κατ' αὐτὴν τὴν ἡμέραν ἐσθίειν ἔμελλον, καὶ εἰς ἐπήκοον πάντων τῶν ἀδελφῶν καὶ τῶν ὄχλων εἶπε μεγάλῃ τῇ φωνῇ· ‚μὴ οὐκ ἰσχύει ἡ χεὶρ κυρίου πληθῦναι ταῦτα; τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον· οὐ μὴ ἐκλείψῃ ἄρτος ἐκ τῶν σπυρίδων τούτων, ἄχρις ἂν κορεσθῶμεν ἅπαντες τοῦ νέου σίτου'. 46. καὶ διεβεβαιώσαντο πάντες οἱ παραγενόμενοι τότε τετράμηνον πᾶσιν ἐπαρκέσαι τοὺς ἄρτους. ὁμοίως δὲ καὶ ἐπὶ ἐλαίου καὶ σίτου πεποίηκεν, ὡς παρεῖναι τὸν σατανᾶν καὶ εἰπεῖν πρὸς αὐτόν· ‚μὴ Ἠλίας εἶ σὺ ἢ ἕτερός τις τῶν προφητῶν καὶ ἀποστόλων, ὅτι ταῦτα τολμᾷς;' 47. ὁ δὲ πρὸς αὐτὸν ἔφη· ‚τί γάρ; οὐκ ἄνθρωποι ἦσαν οἱ ἅγιοι προφῆται καὶ ἀπόστολοι

15 Cf. Is. 23,11. **16** Citat? **20** Cf. regn. γ 17,8 ff. Mt. 16,14. Joh. 1,21.

$P^2P^5P^1C^1MLP^3$ ϑ r s a] **1** ὑπὲρ — ἀξιοῦσθαι > LP^3 | ὑπὲρ αὐτοῦ] ὅπως P^2 | χάριτος — ἀξιοῦσθαι] ὅπως δοθῇ αὐτῶ χάρισμα ταπεινοφροσύνης· τοῦ δὲ P^5 | ἀξιωθῆναι P^1, ἀξιωθεὶς P^2 | εὐξαμένου P^2P^5 | δὲ αὐτοῦ > P^5 | ἡ — 2 αὐτῷ] τοσαύτη P^5 | **2** ἐδόθη P^5 | δίδοται αὐτῶ P^2 | ἀποδίδωται////// L | καὶ τ. πραότητος > P^5 | πραΰτητος L | ὡς — 3 πραότητος > P^3 | ὥστε P^5C^1 | **3** πάντας θαυμάζειν P^5 | ὑπὲρ ϑ | περὶ αὐτοῦ > P^5 | τῇ ὑπερβολῇ τῆς P^5 | πραΰτητος L | κτησαμένου] αὐτοῦ καὶ ταπεινοφροσύνης P^5 | ἐξηγοῦντο — 5 ἀδελφῶν > r | **4** ἡμῖν] + καὶ τοῦτο P^5 | ταύτας — 5 ἀδελφῶν] αὐτοί τε μαρτυροῦντες τὰς μεγάλας τούτου παρὰ θεοῦ δυνάμεις καὶ πολλοὶ ἕτεροι τῶν ἀδελφῶν P^2 | **5** καὶ] συν P^1, > P^5 | **6** καὶ γὰρ > P^5 | γὰρ] γ *a. Ras.* P^3 | ποτε — χρόνου] γενομένου P^5 | τινος > L | χρόνου > P^2 | τὴν P^3 | **7** γενομένου] *nach* ποτε P^2; > P^5 | τοὺς τόπους C^1MP^3, τὰς πόλεις ϑ | ὅτι P^5 | κατ' P^2 | **10** δὲ] + ὅσιος P^5 | μηδ' ὅλως P^5 | δεδειώς P^1C^1L, δεδοιώς P^2, δεδιός P^5 | λείψῃ s a, λήψῃ O | τι > LP^3 ϑ | βρωμάτων] + ἄφθονος P^5 | **11** ὑποληφθησῶν P^2 | **12** μεγάλων > P^5 r s^c | μόνον P^5LP^3 ϑ, > a | τῶν *m. 2 s. l.* C^1 | **13** προσέταξεν P^5 | ἀγαγεῖν εἰς τὸ μέσον P^5 | οὓς P^2 | **14** ἔμελλον ἐσθίειν M | ἤμελλον C^1 | ὑπήκοον LP^3 ϑ | μοναχῶν P^1C^1M | **15** λέγει P^5 | μεγάλῃ — 16 ταῦτα > P^1 | μεγάλῃ — φωνῇ > C^1M | κυρίου] κ *a. Ras.* M | πληθῆναι P^5 | **16** ταῦτα] + καὶ C^1MLP^3 ϑ | τάδε] + γὰρ s | ἐκλείψει P^2P^5 ϑ | ὁ ἄρτος L | **17** κορεσθῶσιν ϑ | τοῦ > P^5 | **18** διαβεβαιώσαντες C^1 | **20** πρὸς αὐτὸν] αὐτῶι P^1C^1M ϑ | σὺ εἶ L | **21** τις > $P^2P^1C^1$ | καὶ] ἢ P^1 | **22** ἔφη > P^2 | οἱ — ἀπόστολοι] κἀκεῖνοι P^2. |

Digitized by Google

οἱ ταῦτα ἡμῖν ποιεῖν παραδώσαντες; ἢ τότε μὲν παρῆν ὁ θεός, νῦν δὲ ἀπεδήμησεν; δύναται ὁ θεὸς ἀεὶ ποιεῖν ταῦτα καὶ οὐδὲν ἀδυνατεῖ αὐτῷ. εἰ οὖν ὁ θεὸς ἀγαθός, σὺ διὰ τί πονηρός;' τί γὰρ οὐ δεῖ λέγειν καὶ ἃ ἡμεῖς ἑωράκαμεν, ὅτι μεστὰς σπυρίδας εἰσῆγον ἐν ταῖς τραπέζαις τῶν ἀδελφῶν οἱ τοὺς ἄρτους εἰσφέροντες καὶ ἐσθιόντων πεντακοσίων ἀδελφῶν ἄχρι κόρου μεστὰς πάλιν αὐτὰς ἀπελάμβανον;

48. Καὶ ἄλλο δὲ θαῦμα ἰδόντες ἐξεπλάγημεν, ὅπερ καὶ δίκαιόν ἐστιν εἰπεῖν. ἐλθόντες γὰρ πρὸς αὐτὸν τρεῖς ἡμεῖς ἀδελφοὶ ἐγνωρίσθημεν πόρρωθεν ὑπὸ τῶν ἀδελφῶν ὁραθέντες τῶν προακουσάντων παρ' αὐτοῦ περὶ τῆς ἡμῶν πρὸς αὐτὸν ἀφίξεως. οἱ μετὰ σπουδῆς προσδραμόντες ὑπήντησαν ἡμῖν ψάλλοντες — τοῦτο γὰρ αὐτοῖς ἔθος ἐστὶν πρὸς πάντας τοὺς μοναχούς — καὶ προσκυνήσαντες ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν ἐφίλουν ἡμᾶς ἀλλήλοις ἐπιδεικνύντες ἡμᾶς καὶ λέγοντες· ,ἰδοὺ ἥκασιν οἱ ἀδελφοί, περὶ ὧν ὁ πατὴρ πρὸ τριῶν ἡμερῶν προείρηκεν ἡμῖν λέγων, ὅτι ''μετὰ τρεῖς ἡμέρας ἥξουσι πρὸς ἡμᾶς τρεῖς ἀδελφοὶ ἀπὸ Ἱεροσολύμων ἐρχόμενοι'.' 49. καὶ οἱ μὲν προσῆγον ἡμῖν, οἱ δὲ ἠκολούθουν ὄπισθεν ἡμῶν ψάλλοντες, ἄχρις [ἂν] πλησίον αὐτοῦ ἐφθάσαμεν. ἀκούσας δὲ ὁ πατὴρ Ἀπολλῶς τῆς φωνῆς τῶν ψαλλόντων ὑπήντησεν ἡμῖν κατὰ τὸ ἔθος αὐτῷ τὸ πρὸς πάντας τοὺς ἀδελφούς. καὶ ἰδὼν ἡμᾶς προσεκύνησε πρῶτος ἐπὶ τὴν γῆν ἑαυτὸν ἐξαπλώσας, καὶ ἀναστὰς ἐφίλησε καὶ εἰσαγαγὼν ὑπερηύξατο καὶ τοὺς πόδας ἡμῶν νίψας χερσὶν οἰκείαις πρὸς τὴν ἀνάπαυσιν προετρέψατο. τοῦτο δὲ

2 Cf. Lc. 1,37. — Mt. 19,17. **3** Cf. Act. 4,20. 1 Joh. 1,3. **5** Cf. Mc. 6,42 ff. etc. **20** Joh. 13,14.

$P^2P^5P^1C^1MLP^3$ δ r s a] **1** οἱ — παραδώσαντες *str.* Schw. | τοιαῦτα C^1M | ἡμῖν] ὑμῖν L | ποιεῖν > P^2C^1ML | παραδόσαντες P^5, παραδεδωκότες P^2, παραδόντες M | τότε > P^2 | παρῆν μὲν LP^3 δ | ὁ > M | νῦν — 2 θεὸς > P^1 | **2** δύναται] + δὲ P^2C^1M | οὐκ P^1C^1M | ἀδυνατήσει $TP^2P^5LP^3$ δ | **3** τί² — λέγειν] εἴπωμεν δὲ P^5 | γὰρ] δαὶ M | οὐ] ὃ L, ὁ P^3 | ἅπερ P^5 | **4** εἰσήγαγον P^5 | εἰς τὰς τραπέζας δ | **5** φέροντες C^1L δ | καιροῦ P^5LP^3 δ | μεστὰς — 6 ἀπελάμβανον > s | **6** αὐτὰς πάλιν P^5 | ἐλάμβανον P^5C^1 | **7** ὡς δὲ καὶ $P^1C^1MLP^3$ δ, > P^2 r a | ἄλλο δὲ P^5 s a, ἕτερον *rell.* | θαῦμα] + δὲ P^2 | ἰδόντες] + ἐν ὧπερ καὶ ἐπὶ πλεῖον P^5 | ὅπερ — ἐστιν > s | ὅπερ καὶ P^2 r a, > *rell.* | ἐστιν] καὶ τοῦτο P^5 | **8** ἐλθόντες — ἐγνωρίσθημεν] μελλόντων ἡμῶν τριῶν ἀδελφῶν ἀπιέναι πρὸς αὐτὸν μήπω τοῦτον ἰδόντες προέγνω ὁ μακάριος καὶ τοῖς σὺν αὐτῷ ἀδελφοῖς προείρηκεν. ὡς οὖν ἐρχομένους ἐγνώρισαν ἡμᾶς P^5 | πόρρω P^2 | **9** ὑπὲρ δ | ὑπὸ — ὁραθέντες] οἱ ἀδελφοὶ P^5 | τῶν²] + καὶ P^2 | ἤδη παρ' αὐτοῦ ἀκούσαντες P^5 | **10** ἡμετέρας P^5 | πρὸς αὐτὸν > P^5 | οἱ — 11 ἡμῖν] ταχέως ἐξῆλθον εἰς ὑπάντησιν ἡμῶν P^5 | προσδραμόντες > s | **11** ἦν ἔθος αὐτοῖς P^5 | αὐτοῖς] > L; + τὸ C^1M | τοὺς] + ἐρχομένους P^5 | ἀδελφοὺς P^1C^1M | **12** καὶ] + φθάσαντες ἕως ἡμῶν P^5 | προσεκύνησαν P^5 | ἐπὶ πρόσωπον > P^5 | εἰς τὴν P^2 | ἠσπάζοντο P^2, καὶ ἠσπάσαντο P^5 | ἡμᾶς] + ἐν φιλήματι ἁγίῳ P^5 | **13** ἀλλήλους LP^3 δ; + δὲ P^5 | ὑποδεικνύοντες P^5L, ἐπιδεικνύοντες δ, > s | ἡμᾶς > P^2 s | ἡμᾶς — λέγοντες > δ | καὶ λέγοντες] ἔλεγον P^5 | ἰδοὺ ἥκασιν] οὗτοι εἰσὶν P^5 | **14** εἴρηκεν P^5 | λέγων > δ | **15** τρεῖς ἀδελφοὶ πρὸς ἡμᾶς P^5 | ὑμᾶς s | τρεῖς > M | **16** ἡμᾶς $P^2P^5LP^3$ δ | ὄπισθεν ἡμῶν > $P^2P^1C^1M$ | ἄχρις — 17 ἐφθάσαμεν > P^5 | ἕως P^2 | ἂν] *str.* Schw.; οὗ δ | **17** αὐτῶν LP^3 δ, > P^5C^1 | δὲ > C^1 r | ἀπολλὼ C^1M | τὴν φωνὴν L | **18** ἀπήντησεν C^1 | αὐτοῦ δ | τὸ² > P^1C^1M | τοὺς] + ἐρχομένους P^5 | **19** ἐναπλώσας δ | **21** χερσὶ νιψάμενος C^1, χερσὶ νίψας M | τὴν > P^2. |

Digitized by Google

πᾶσιν ἐποίει τοῖς ἐρχομένοις πρὸς αὐτὸν ἀδελφοῖς. 50. οἱ γὰρ σὺν αὐτῷ ἀδελφοὶ οὐ πρότερον τῆς τροφῆς μετελάμβανον, πρὶν ἢ τῆς εὐχαριστίας τοῦ Χριστοῦ κοινωνήσωσιν. τοῦτο δὲ ἐποίουν κατὰ τὴν ἐνάτην ὥραν ἡμέριον. εἶθ' οὕτω διαιτηθέντες ἐκάθηντο ἀκούοντες αὐτοῦ διδάσκοντος πάσας τὰς ἐντολὰς ἄχρι τοῦ πρωτοϋπνίου. ἐκεῖθεν οἱ μὲν ἐξ αὐτῶν ἐπὶ τὴν ἔρημον ἀνεχώρουν, ἀποστηθίζοντες τὰς γραφὰς ὅλην τὴν νύκτα, οἱ δὲ ἐκεῖ προσεκαρτέρουν ἀπαύστοις ὕμνοις τὸν θεὸν εὐφημοῦντες ἄχρις ἡμέρας. οὓς ἐγὼ αὐτὸς αὐτοψεὶ ἐθεασάμην ἑσπέρας ἀρξαμένους τῶν ὕμνων καὶ μέχρι πρωὶ οὐ παυσαμένους τῆς ᾠδῆς. 51. πολλοὶ γοῦν αὐτῶν κατὰ τὴν ἐνάτην ὥραν [μόνον] κατήρχοντο ἐκ τοῦ ὄρους καὶ τῆς εὐχαριστίας μετελάμβανον καὶ πάλιν ἀνῄεσαν ἀρκούμενοι τῇ πνευματικῇ μόνον τροφῇ ἄχρις ἄλλης ἐνάτης. τοῦτο δὲ ἐποίουν πολλοὶ ἐξ αὐτῶν ἐπὶ πολλὰς ἡμέρας. 52. ἦν δὲ ἰδεῖν αὐτοὺς ἀγαλλιωμένους κατὰ τὴν ἔρημον, ὡς οὐκ ἄν τις ἴδοι ἐπὶ τῆς γῆς τοιαύτην ἀγαλλίασιν οὐδὲ εὐφροσύνην σωματικήν. οὐδὲ γὰρ στυγνὸς οὐδὲ κατηφής τις ἦν ἐν αὐτοῖς, ἀλλ' εἴ τίς που καὶ στυγνάζων ἐφάνη, εὐθὺς ἐπύθετο παρ' αὐτοῦ ὁ πατὴρ Ἀπολλῶς τὴν αἰτίαν καὶ τὰ ἐν τῷ κρυπτῷ τῆς καρδίας ἑκάστου ἀπήγγελεν. 53. ἔλεγε δέ· ‚οὐ χρὴ στυγνάζειν ἐπὶ τῇ σωτηρίᾳ μέλλοντας βασιλείαν οὐρανῶν κληρονομεῖν· στυγνάσουσι μέν, φησίν, οἱ Ἕλληνες, κλαύσουσι δὲ οἱ Ἰουδαῖοι, πενθήσουσι δὲ οἱ ἁμαρτωλοί, οἱ δὲ δίκαιοι εὐφρανθήσονται· καὶ οἱ τὰ γήινα μὲν φρονοῦντες ἐπὶ τοῖς γηίνοις εὐφραίνονται, ἡμεῖς δὲ οἱ τηλικαύτης ἐλπίδος

---

18 Cf. Mt. 25,34.

$P^2P^5P^1C^1ML(P^3)$ ϑ r s a] **1** ἐποίει πᾶσιν L | τ. πρὸς αὐτὸν ἐρχομένοις P^1C^1M, τοῖς προσερχομένοις ἀδελφοῖς P^2 | **2** τῆς^1 > P^2 | πρὶν] ν *m. 2 s. l.* C^1 | ἢ > C^1 | **3** κοινωνήσουσιν LP^3 ϑ, κοινωνῆσαι P^2 | ἐννάτην $P^2C^1LP^3$ ϑ (*so immer*) | ὥραν] + καὶ P^1 | **4** ἡμερήσιον P^2 | εἶθ' > P^1C^1M | διατιθέντες P^5; *i. Text, a. Rand m. rec.* διαιτηθέντες P^2 | αὐτοῦ] τοῦ πατρὸς C^1M | αὐτοῦ διδάσκοντος > P^1 | αὐτοῦ — 5 ἐντολὰς] τὴν ἀνάγνωσιν τῶν τοῦ χριστοῦ ἐντολῶν P^5 | **5** πάσας > s | τοῦ > P^2P^5 | πρωθυπνίου P^1C^1M, προυπνίου P^2 | πρωτοϋπνίου] *des.* P^3; *perg.* S. 48,19 <εἶ>ναι | ἐκεῖθεν] + δὲ P^1C^1M, δὴ ϑ | ἐξ αὐτῶν *nach* 6 ἔρημον $P^2P^1C^1M$ | **6** τὰς] + θείας P^5 | διὰ πάσης νυκτὸς P^5 | **7** προεκαρτέρουν L ϑ | εὐφημοῦντες] ἀνυμνοῦντες P^2 | **8** αὐτὸς ἐγὼ P^2 | αὐτοψὶ////// L; ψὶ *m. 1. s. l.* M, αὐτοψὶ P^1 ϑ, αὐτόθι C^1 | ἐθεασάμην] + πολλάκις P^5 | **9** πρωίας P^2P^5 | οὐ] μὴ P^5 | παυομένους P^2 | οὖν C^1, δὲ P^5 | **10** μόνον > P^5L s | ἐκ > P^5 | τῆς εὐχαριστίας] τῶν τοῦ χριστοῦ μυστηρίων P^5 | **11** μεταλαμβάνοντες P^5 | καὶ > P^5 | ἀνίεσαν P^1C^1, ἀνήρχοντο P^5 | μόνη P^1C^1M, > P^2 | **12** πολλοὶ ἐξ αὐτῶν > P^5 r | **13** καὶ ἦν P^5 | ὡς > C^1 ϑ | **14** εἶποι P^1C^1M | ἐπὶ τ. γῆς *nach* σωματικήν M | τὴν γῆν P^1C^1 ϑ | τοιαύτην] ἄλλην τινὰ P^5L | **15** γὰρ > P^1C^1 ϑ | στυγνὸς] + τις P^1 | οὐδὲ] ἢ P^2, > M | τις > P^1C^1 | ἦν τις P^2 | εἴ πού τις P^2 | που > P^5 | **16** ἀνεφάνη L | εὐθὺς > L | ἐπύθετο] διηρωτάτω P^5 | παρὰ τοῦ πατρὸς ἀπολλῶ P^5 | παρ' αὐτοῦ > s | ἀπολλῶ C^1M ϑ | **17** ἑκάστωι LP^5 | ἀνήγγελεν P^1ML ϑ | **18** τὴν σωτηρίαν L | μέλλοντος M, μέλλοντες P^5 | κληρονομεῖν σωτηρίαν καὶ βασιλείαν οὐρανῶν P^5 | κληρονομεῖν] + καὶ L | στυγνάζουσι M ϑ | **19** μὲν > C^1 | φησίν > L s | οἱ^1 > P^1C^1M | κλαύσωσι C^1L | οἱ^2 > C^1M | πενθήσουσι — 20 ἁμαρτωλοὶ > s | **20** δὲ οἱ > C^1 | οἱ^1 > P^2P^1M | μὲν > P^5 | **21** δὲ > P^2 | οἱ > L. |

καταξιωθέντες, πῶς οὐχὶ διὰ παντὸς εὐφραινόμεθα τοῦ ἀποστόλου ἡμᾶς παραινοῦντος πάντοτε χαίρειν, ἀδιαλείπτως προσεύχεσθαι, ἐν παντὶ εὐχαριστεῖν; 54. καὶ τί δ' ἄν τις εἴποι τὴν ἐν τοῖς λόγοις αὐτοῦ χάριν καὶ τὰς λοιπὰς αὐτοῦ ἀρετάς, ἃς δι' ὑπερβολὴν θαύματος ἐσιωπήσαμεν ἑκάστοτε παρ' αὐτοῦ καὶ τῶν ἄλλων ἀκούοντες;

55. Πολλὰ δὲ περὶ ἀσκήσεως καὶ πολιτείας ἡμῖν καταμόνας διαλεχθείς, πολλάκις καὶ περὶ τῆς ὑποδοχῆς τῶν ἀδελφῶν ἔλεγεν, ὅτι· ,δεῖ ἐρχομένους τοὺς ἀδελφοὺς προσκυνεῖν. οὐ γὰρ αὐτούς, ἀλλὰ τὸν θεὸν προσεκύνησας. εἶδες γάρ, φησί, τὸν ἀδελφόν σου, εἶδες κύριον τὸν θεόν σου. 56. καὶ τοῦτο, φησί, παρὰ τοῦ Ἀβραὰμ παρειλήφαμεν· καὶ ὅτι δεῖ ἐσθ' ὅτε τοὺς ἀδελφοὺς πρὸς ἀνάπαυσιν παραβιάζεσθαι, παρὰ τοῦ Λὼτ μεμαθήκαμεν παραβιασαμένου τοὺς ἀγγέλους· καὶ ὅτι δεῖ, εἰ δυνατόν, τοὺς μοναχοὺς καθ' ἑκάστην ἡμέραν τῶν μυστηρίων τοῦ Χριστοῦ κοινωνεῖν. ὁ γὰρ μακρύνων ἑαυτὸν ἀπὸ τούτων, μακρύνεται ἀπὸ τοῦ θεοῦ· ὁ δὲ συνεχῶς τοῦτο ποιῶν, συνεχῶς τὸν σωτῆρα ὑποδέχεται. ἡ γὰρ σωτήριος φωνὴ φησίν· ὁ ἐσθίων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα μένει ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ. 57. τοῦτο οὖν συμφέρει τοῖς μοναχοῖς ὑπόμνησιν τοῦ σωτηρίου πάθους συνεχῶς ποιουμένοις καὶ καθ' ἡμέραν ἑτοίμους εἶναι παρασκευάζειν ἑαυτοὺς τοιούτους, ὡς ἀξίους εἶναι πάντοτε πρὸς τὴν τῶν οὐρανίων μυστηρίων ὑποδοχήν, ἐπεὶ καὶ ἀφέσεως ἁμαρτιῶν οὕτω καταξιούμεθα. 58. τὰς δὲ καθολικὰς νηστείας, φησί, μὴ ἐξὸν λύειν ἄνευ πάσης ἀνάγκης· ἐν γὰρ τετράδι ὁ σωτὴρ παρεδόθη, ἐν δὲ τῇ παρασκευῇ σταυροῦται. ὁ οὖν ταύτας λύων συνπαραδίδωσι τὸν σωτῆρα καὶ συνσταυροῖ· ἀλλ' ἐὰν ἥκῃ πρὸς ὑμᾶς ἀδελφὸς ἀναπαύσεως δεόμενος νηστείας

---

2 Cf. 1 Thess. 5,17. (Cf. Phil. 4,4.) **9** Cf. Mt. 25,40. **10** Cf. Gn. 18,1 ff. **11** Cf. Gn. 19,1 ff. **15** Cf. Mc. 9,37 etc. **16** Joh. 6,56. **22** Mt. 26,17. — Mc. 15,42. Luc. 23,54. Joh. 19,14.31.42.

$P^2P^5P^1C^1ML(P^3)$ *ð* r s a] **2** παρορμῶντος C^1M *ð* | **3** καὶ^1 > *ð* | τοῖς > $P^2P^1C^1M$ *ð* | **4** αὐτοῦ > P^2 | θαυμάτων P^5, > s | **5** καὶ] + παρὰ P^2 | **6** ἡμῖν *nach* δὲ P^2 | ἀσκήσεως διαλεχθεὶς ἡμῖν καταμόνας καὶ πολιτείας ἀρίστης P^5 | πολιτείας] + πνευματικῆς P^2, ἐναρέτου M | καταμόνας ἡμῖν διαλεχθεὶς L | διαλεχθεὶς] εχ *s. l. a. Ras.* C^1 | **7** ὅτι] τὸ M | δεῖ] + δὲ L | ἐρχομένους > L | **8** ἀλλὰ] ὰ *ausr.* C^1 | προσεκύνησαν P^1, προσκυνεῖς P^5 | **9** κύριον > L | κύριον — σου] Χριστόν s | καὶ — 10 φησὶ > P^1C^1M *ð* | **10** παρειλήφαμεν] + εἰ C^1 *ð* | **11** παραβιάζεσθαι πρὸς ἀνάπαυσιν P^2 | **12** βιασαμένου P^1, παραβιασάμενος C^1 | **13** τοῦ Χριστοῦ > *ð* | τ. τοῦ χριστοῦ μυστηρίων P^2 | κοινωνεῖν] μεταλαμβάνειν P^2 | **14** τῶν τοιούτων P^2 | τοῦ > C^1M | τοῦτο συνεχῶς M | **15** τὸν σωτῆρα συνεχῶς $P^2P^1C^1M$ | ὑποδ[έ]χεται, ε *a. Ras.* C^1, ἀποδέχεται L | φησὶ γὰρ ἡ σωτήριος φωνὴ P^5 | **16** μου^1 > P^2 | **17** ἐν ἐμοὶ μένει TP^2P^5M s | **19** εἶναι] + καὶ C^1 | <εἶ>ναι *perg.* P^3 | τοιούτους > P^2 | **20** τῶν] + ἁγίων καὶ *ð* | οὐρανίων] + καὶ ἁγίων P^5LP^3 | ἐπειδὴ P^1C^1 | **21** ἀξιούμεθα P^2 | οὐκ P^5 | **22** πάσης] + κατεπειγούσης M; > P^5 | ἀνάγκης] + μεγάλης P^5 | σωτὴρ] + ἡμῶν M | παραδίδοται P^5LP^3 *ð* | **23** ἐσταυρώθη P^2 | ταῦτα L | συσταυροῖ P^1C^1M *ð* | **24** ἀλλ' > *ð* | ἐὰν] + δὲ *ð* | ἥκει P^5 | ὑμᾶς C^1M, σε s a, ἡμᾶς $P^2P^5P^1LP^3$ *ð*. |

Digitized by Google

οὔσης, παραθήσεις αὐτῷ μόνῳ τὴν τράπεζαν. εἰ δὲ μὴ βούλεται, μὴ ἀναγκάσῃς· κοινὴν γὰρ ἔχομεν τὴν παράδοσιν.

59. Ἐμέμφετο δὲ πολλὰ τοὺς τὰ σίδηρα φοροῦντας καὶ τοὺς κομῶντας. οὗτοι γὰρ ἐνδεικτιῶσι, [φησί,] καὶ τὴν ἀνθρωπαρέσκειαν θηρῶσιν· δέον αὐτοὺς μᾶλλον νηστείαις ἐκλύειν τὸ σῶμα καὶ ἐν κρυπτῷ τὸ καλὸν πράττειν· οἱ δὲ οὐχ οὕτως, ἀλλὰ πᾶσιν ἑαυτοὺς φανεροὺς καθιστῶσιν.

60. Καὶ τί ἄν τις εἴποι τὰς διδαχὰς αὐτοῦ πάσας παραπλησίας οὔσας αὐτοῦ τῇ πολιτείᾳ, ἃς οὐδὲ γράψαι τις οὐδὲ φράσαι κατ' ἀξίαν δυνήσεται;

61. Πλεῖστα οὖν πολλάκις ἡμῖν καταμόνας ὅλην τὴν ἑβδομάδα διαλεγόμενος προπέμπων ἡμᾶς ἔλεγεν· ‚εἰρήνην ἔχετε μετ' ἀλλήλων καὶ μὴ ἀπ' ἀλλήλων εἰς ὁδὸν χωρίζεσθε.' εἰπόντος δὲ τοῖς σὺν αὐτῷ ἀδελφοῖς, τίς ἂν ἑκὼν βούλοιτο ἐξ αὐτῶν συμπροπέμψαι ἡμᾶς ἄχρι τῶν ἄλλων πατέρων, σχεδὸν ἅπαντες παρεκάλουν προθύμως συμπροπέμψαι ἡμᾶς. 62. ὁ δὲ ἅγιος Ἀπολλῶς τρεῖς ἐπιλεξάμενος ἄνδρας ἱκανοὺς ἐν λόγῳ καὶ πολιτείᾳ καὶ ἐμπείρους ὄντας τῆς Ἑλληνικῆς διαλέκτου καὶ Ῥωμαικῆς καὶ Αἰγυπτιακῆς καὶ συμπροπέμπων ἡμῖν αὐτοὺς ἐνετέλλετο, μὴ πρότερον ἀφιέναι ἡμᾶς, πρὶν ἂν ἱκανῶς ἔχοιμεν τοὺς πατέρας [ὅλους] θεωρήσαντες, οὓς ἐὰν βούληταί τις ἰδεῖν ἅπαντας, οὐκ ἂν φθάνοι διὰ παντὸς τοῦ βίου ὅλους θεάσασθαι. εὐλογήσας οὖν ἡμᾶς ἐξαπέστειλε λέγων· ‚εὐλογήσαι ὑμᾶς κύριος ἐκ Σιὼν καὶ ἴδοιτε τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν.'

---

5 Cf. Mt. 6,4.6.18. **19** Ps. 127,5.

$P^2P^5P^1C^1MLP^3$ ϑ r s a] **1** παράθετε P^2 | μόνον L | τὴν > P^5 | βούληται $P^5P^1C^1M$ | ἀναγκάσητε P^2 | **2** ἔχομεν] + πάντες LP^3 ϑ | **3** κατεμέμφετο P^5 | σιδηροφοροῦντας P^5 | τοὺς²] + ταῖς θριξὶ P^5 | **4** γὰρ] + φησὶ P^2P^5 | ἐνδεικτικῶσι $P^2P^1C^1$, ἐνδεικνύουσιν L, ἐνδεικνύουσι P^3 ϑ, κατ' ἐπίδειξιν ταῦτα ποιοῦντες P^5 | φησὶ > P^2P^5 s a | καὶ] διὰ τούτων P^5 | θηροῦσι P^1, τηρῶσιν C^1 | δέον] + γὰρ P^2 | **5** τὸ σῶμα ἐκλύειν P^5 | ἐν] + τῷ P^5 | πράττειν τὸ καλὸν P^5 | **6** οὐχ οὕτως P^2 s a, οὐ τοῦτο *rell.* | ἀλλὰ] ποιοῦντες P^5 | πᾶσιν] πολλοῖς s | καθιστῶσιν] + διὰ τῶν κατ' ἐπίδειξιν παρ' αὐτῶν τελουμένων P^5 | **7** καὶ τί — 8 δυνήσεται > r | καὶ — 8 πολιτείᾳ] τοιαῦται τοῦ μακαρίου ἀπολλῶ αἱ διδαχαὶ παραπλησίας τῆς αὐτοῦ πολιτείας P^5 | παραπλησίους M, παραπλησίως LP^3 ϑ | **8** τῆς αὐτοῦ πολιτείας P^2 | οὐδὲ¹] οὔτε P^2 | φράσαι . . . γράψαι ϑ | κατ' ἀξίαν > P^2 | δυνήσηται L; + διά τε τὸ πλῆθος καὶ τὴν ὑπερβολὴν τῆς χάριτος P^5 | **9** παρ' ὅλην P^5 | **10** προπέμπων] + τε P^1C^1M, > s | ἡμῖν s | καὶ — 11 ὁδὸν > P^5 | **11** χωρίζησθε P^2, χωρίζεσθαι P^5 | εἰπὼν P^1C^1M | ἀδελφοῖς σὺν αὐτῷ P^2 | **12** ἑκὼν > P^2P^5 | ἐξ αὐτῶν > P^2 | συμπρο||προπέμψαι, *das 2.* προ *ausgewischt* L | προπέμψαι P^2P^1 | συμπροπέμψαι — 14 τρεῖς > P^5 | **13** συμπροπέμψαι προθύμως ϑ | **14** τρεῖς] + ἐξ αὐτῶν LP^3 ϑ | καὶ] + ἐν C^1M | **15** ἐνπείρους L | ὄντας] ν *s. l. m. 2* C^1 | Ῥωμαικῆς . . . Ἑλληνικῆς s | διαλέκτου *nach* 16 Αἰγυπτιακῆς ϑ | καὶ Ῥωμαικῆς > r | **16** καὶ > ϑ | ἡμᾶς ϑ | αὐτοῖς P^2L | ἐνετέλλετο] + λέγων M | **17** ἴδοιμεν P^2 | ὅλους *str.* Schw. | θεωρήσαντες > *am Ende eines Quaternio* P^2 | **18** οὓς] ὡς P^5 | ἐὰν] ἂν P^5LP^3, ἂν εἰ P^1C^1M | βούλοιτο P^2 | οὐκ — 19 θεάσασθαι] οὓς παρ' ὅλην αὐτοῦ τὴν ζωὴν οὐ τεθέατο P^5 | φθάσοι P^1C^1, φθάνῃ P^2 | **19** ὅλους > LP^3 ϑ | **20** ἡμᾶς L | ὁ κύριος P^2. |

Digitized by Google

IX. Περὶ Ἀμμοῦν.

1. Πορευομένων δὲ ἡμῶν κατὰ τὴν ἔρημον ἐν μεσημβρίᾳ ἐξαίφνης ὁρῶμεν σῦρμα μεγάλου δράκοντος, οἷά τε δοκοῦ διὰ τῆς ψάμμου ἑλκυσθείσης· καὶ ἰδόντες φόβῳ πολλῷ συνεσχέθημεν. οἱ δὲ ὁδηγοῦντες ἡμᾶς ἀδελφοὶ παρεκάλουν, μὴ δεδιέναι, ἀλλὰ μᾶλλον θαρρεῖν καὶ ἕπεσθαι τῷ ἴχνει τοῦ δράκοντος. ‚ὄψεσθε γάρ, φησί, τὴν πίστιν ἡμῶν μελλόντων αὐτὸν χειροῦσθαι. πολλοὺς γάρ, φησί, καὶ δράκοντας καὶ ἀσπίδας καὶ κεράστας ἐκ χειρὸς ἀνῃρήκαμεν καὶ τὸ γεγραμμένον ἐπ' αὐτοῖς ἐπληροῦτο· δέδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.' 2. ἡμεῖς οὖν ἀπιστίᾳ φερόμενοι καὶ ἔμφοβοι μᾶλλον γενόμενοι, μὴ κατ' ἴχνος τοῦ δράκοντος ἠξιοῦμεν αὐτούς, ἀλλὰ τὴν εὐθεῖαν βαδίζειν. εἷς δὲ ἐξ αὐτῶν ἀδελφὸς ἀπὸ πολλῆς προθυμίας καταλιπὼν ἡμᾶς ἐπὶ τοῦ τόπου ἐπὶ τὴν ἔρημον ὥρμησεν ἀνιχνεύων τὸ θηρίον. καὶ εὑρὼν οὐκ εἰς μακρὰν τὸν φωλεὸν φωνῇ ἐβόα ἡμῖν, ἐν τῷ σπηλαίῳ εἶναι τὸν δράκοντα καὶ ἐκάλει πρὸς αὐτόν, ὄψεσθαι τὸ ἐκβησόμενον, προτρεπομένων ἡμᾶς καὶ τῶν ἄλλων ἀδελφῶν μὴ δεδιέναι. 3. ὡς δὲ ἡμεῖς μετὰ πολλοῦ φόβου ἀπῄειμεν ὀψόμενοι τὸ θηρίον, συναντήσας ἡμῖν ἐξαίφνης εἷς ἀδελφὸς ἐκ χειρὸς εἵλκεν εἰς τὸ ἑαυτοῦ μοναστήριον, φάσκων μὴ δυνατοὺς εἶναι ἡμᾶς ὑπενεγκεῖν τὴν ὁρμὴν τοῦ θηρίου, καὶ μάλιστα ὅτι οὐδέποτε ἦμεν τοιοῦτόν τι ἑωρακότες. πολλάκις γὰρ ἔλεγεν αὐτὸν ἑωρακέναι τὸ θηρίον ὑπερμέγεθες ὑπάρχον καὶ ὑπὲρ δεκαπέντε πήχεις ἔχον. 4. μένειν οὖν ἡμᾶς κελεύσας ἐπὶ τοῦ τόπου ἀπῄει πρὸς τὸν ἀδελφὸν πείθων μεταστῆναι τοῦ φωλεοῦ. ἐπειρᾶτο γὰρ ἐκεῖνος, μὴ μεταστῆναι τοῦ

---

1 C. 8 r, Col. 1148 D δ. **8** Lc. 10,19.

$P^2P^5P^1C^1LP^3$ δ r s a] **1** περὶ] + ἀββᾶ LP^3 δ | περὶ Ἀμμοῦν > P^2P^5 s a | **2** ἡμῶν > P^1 | **3** ἐν τῇ ψάμμῳ P^2 | ἑλκυσθέντος P^2 | **5** παρεκάλουν] + ἡμᾶς δ | ἀλλὰ — 6 δράκοντος > s | θαρσεῖν P^5P^3 | ἐπέχεσθαι P^2LP^3 δ | τοῖς ἴχνεσι P^5 | **6** ὄψεσθαι, *corr. m. 1* P^5 | αὐτὸν] ο *aus* ω P^5C^1 | χειρώσασθαι P^2P^1 | **7** φησὶ *nach* δράκοντας P^5 | γὰρ . . καὶ[1] > P^5 | καὶ[2] > P^5 | ἀσπίδας] + τε P^5 | διὰ χειρῶν P^5 | **8** αὐτοὺς P^2P^5 | ἐπληροῦντο P^3 | **9** τοῦ > LP^3 | **10** ἀντικειμένου P^1C^1 | καὶ — 11 γενόμενοι > P^2 | καὶ ἐπὶ μᾶλλον ἔμφοβοι δ | **11** γενόμενοι μᾶλλον P^1C^1 | γινόμενοι P^5P^3 | ἠξιοῦμεν *hinter* γενόμενοι P^5, *hinter* 12 βαδίζειν δ | **12** ὑπὸ P^1C^1 | **13** ἐπὶ τ. τόπου > P^1 s | ὥρμησεν ἐπὶ τὴν ἔρημον P^5 | ἐπὶ[2]] εἰς P^2 | **15** ἑαυτὸν P^2 | αὐτόν] + ἐλθεῖν καὶ P^5 s | τὸ ἐκβησόμενον > s | **16** ἡμᾶς > P^5 | καὶ τῶν > δ | ἀδελφῶν > δ | μὴ *s. l.* L, > s | δεδιέναι] + ἡμᾶς P^5; > s | **17** ὀψόμενοι τ. θηρίον > s | συνήντησεν δ; + δὲ P^3 | **18** εἷς > $P^5P^1C^1$I. | ἀδελφὸς *m. 1 i. mg.* C^1; + τις ἕτερος P^5 s | ἐκ χειρὸς > P^5 | εἵλκυσεν P^2, ἕλκων δ | εἵλκεν ἡμᾶς *hinter* μοναστήριον P^5 | **19** φάσκειν LP^3, λέγων P^5 | δυνατὸν P^1, δύνασθαι P^5 | ἡμᾶς εἶναι LP^3 δ | εἶναι > P^5 | ὀσμὴν C^1 | μάλισθ' P^1C^1 | **20** οὐδέπω P^2C^1 | ἦμεν] η *a. Ras.* L | τι τοιοῦτον LP^3 | τι > P^5 | ἑωρακότες] + ζῷον P^5 | φησὶν P^5 | αὐτὸν *vor* ἔλεγεν P^2LP^3 δ | αὐτὸ C^1, ἑαυτὸν P^2, > P^5 | **21** ἑώρακα P^5 | τὸ] + τοιοῦτον P^5 | ζῷον P^2LP^3 δ | ὑπάρχον] ὂν P^5 | ὑπὲρ] + τὰς P^5 | πήχεις] + τὸ μῆκος P^5 | **22** ἐπὶ] ἐν C^1 | τῷ τόπῳ $P^2P^1C^1$ | ἀπῄει *vor* ἐπὶ δ | **23** πείθων — 51,1 ἡμᾶς > s | πείθων] + αὐτὸν P^5 | ἀποστῆναι P^2. |

Digitized by Google

τόπου, πρὶν ἂν ἕλῃ τὸν δράκοντα. καὶ δὴ πείσας αὐτὸν ἄγει πρὸς ἡμᾶς τὴν ὀλιγοπιστίαν ἡμῶν μεμψάμενον.

5. Ἀναπαυσάμενοι δὲ πρὸς ἐκεῖνον τὸν ἀδελφὸν ὡς ἀπὸ ἑνὸς μιλίου τὸ μοναστήριον ἔχοντα ἱκανῶς ἀνεκτησάμεθα. διηγεῖτο δὲ ἡμῖν ἐκεῖνος, γεγενῆσθαι κατ' ἐκεῖνον τὸν τόπον, ἔνθα περ αὐτὸς ἐκαθέζετο, ἄνδρα ἅγιον, ᾧ αὐτὸς ἐμαθήτευσεν, Ἀμμοῦν ὀνόματι, πλείστας δυνάμεις ἐν ἐκείνῳ τῷ τόπῳ ποιήσαντα. 6. πρὸς ὃν πολλάκις ἐλθόντες οἱ λωποδύται τοὺς ἄρτους καὶ τὰς τροφὰς αὐτοῦ ἐλάμβανον. ἐξελθὼν δὲ μιᾷ τῶν ἡμερῶν εἰς τὴν ἔρημον δύο δράκοντας μεγάλους σὺν αὐτῷ προσηγάγετο κελεύσας αὐτοῖς παραμένειν τῷ τόπῳ καὶ φυλάσσειν τὴν θύραν· οἱ δὲ ἀνδροφόνοι ἐλθόντες κατὰ τὸ ἔθος καὶ θεασάμενοι τὸ θαῦμα ἀχανεῖς γενόμενοι ὑπ' ἐκπλήξεως ἔπεσαν ἐπὶ πρόσωπον. 7. ἐξελθὼν δὲ εἶδεν αὐτοὺς ἐνεοὺς γενομένους καὶ σχεδὸν ἡμιθανεῖς, καὶ ἀναστήσας αὐτοὺς ὠνείδιζεν λέγων· ‚ὁρᾶτε, πόσον ὑμεῖς ἀγριώτεροι τῶν θηρίων ἐστέ. οἱ μὲν γὰρ ἡμῶν διὰ τὸν θεὸν τοῖς βουλήμασι πείθονται· ὑμεῖς δὲ οὐδὲ τὸν θεὸν ἐφοβήθητε, οὐδὲ τῶν Χριστιανῶν τὴν εὐλάβειαν ἐδυσωπήθητε.' εἰσαγαγὼν δὲ αὐτοὺς ἐν τῷ κελλίῳ παρέθηκε τράπεζαν καὶ ἐνουθέτει μεταβαλεῖν τὸν τρόπον. οἱ δὲ

---

4 διηγεῖτο κτλ.] c. 53 (*Überschrift*: περὶ τοῦ ἀββᾶ Ἀμμοῦν) δ.

$P^2P^5P^1C^1LP^3$ δ r s a] **1** πρὶν] πλὴν P^5P^3 | ἂν > P^3 | ἀνέλει P^5, ἕλει P^1C^1, ἑλεῖ L, ἀνελεῖ P^3, ἀνέλῃ P^2, ἀνελεῖν δ | **2** μεμψόμενον $P^2P^1C^1$ δ | **3** παρ' ἐκείνῳ τῷ ἀδελφῷ δ | ὡς — **4** τὸ > s | μιλίου (μηλίου C^1) ἑνὸς P^1C^1 | **4** τὸ//// C^1 | ἡμῖν > P^2 | **5** γεγενῆσθαι — **6** ἅγιον] ὅτι πέρ φησιν ἐν τῶδε τῶ τόπω ἦν ποτε κατοικῶν ἀνὴρ ἅγιος P^5 | **6** εἰς ὅνπερ αὐτὸς ἐμαθητεύθη ὑπ' αὐτοῦ P^2 | ὧ τινι P^5 | αὐτὸς] ἐγὼ P^5 | ἐμαθήτευσα P^5 | ἀμοῦν P^1P^3, μοῦν L | πλείστας — **7** ποιήσαντα] ὃς πολλὰς δυνάμεις θαυμάτων ἐν τῶ τόπω ἐποίει P^5; > s | **7** πολλοὶ P^1C^1; > s | ἐρχόμενοι P^5 | οἱ > P^1 | οἱ] + *i. mg. m.* 2 λεγόμενοι C^1 | **8** τοὺς ἀ. καὶ τὴν ἐσθῆτα καὶ s | τ. ἀ. καὶ > P^5 | αὐτοῦ *aus* αὐτῶν C^1 | ἐξελθὼν δὲ] ὀχλούμενος δὲ ὑπ' αὐτῶν ἐξέρχεται P^5 s | δὲ] οὖν P^2 | μιᾷ — ἡμερῶν > s | μιᾶς LP^3 δ | **9** εἰς τ. ἔρημον > δ | ἔρημον] + καὶ εὑρὼν P^5 | μεγάλους] + ἐκ τῆς ἐρήμου δ | πρὸς ἑαυτὸν συνηγάγετο LP^3 δ, συνηγάγετο τούτους πρὸς ἑαυτὸν P^5 | **10** αὐτοὺς P^1C^1 | παραμένειν > s | τῷ τόπῳ > δ s | θύραν] + τῆς κέλλης αὐτοῦ P^5 s | οἱ δ. ἀνδροφόνοι > P^5 | δ' P^2 | **11** ἐλθόντες P^2P^5 r s, ἐπελθόντες *rell.* | τοίνυν κατὰ P^5 | ἔθος] + οἱ ἀνδροφόνοι P^5 | τὸ θαῦμα] τοὺς θῆρας P^5 s | γεγόνασιν καὶ C^1, ἐγένοντο P^5 | ὑπὸ τοῦ φόβου καὶ ἐκπλήξεως καὶ εὐθὺς πεσόντες ἐπὶ τὴν γῆν ἔκειντο ἡμιθανεῖς P^5 | **12** ἔπεσον P^1 | ἔπεσαν — πρόσωπον > P^5 | πρόσωπον] + ἐπὶ τὴν γῆν s | ὁ δὲ ἐξελθὼν καὶ ἰδὼν αὐτοὺς ἀνέστησεν ἀπὸ τῆς γῆς καὶ προσωνείδιζε τούτους λέγων P^5 | δὲ] + ὁ γέρων P^2 r | εἶρεν $P^2P^1C^1$ | ἐνεοὺς P^1P^3, ἐννεοὺς *rell.* | ἐνεοὺς — **13** αὐτοὺς > s | **13** [ἀ]να[στή]σας *a. Ras.* C^1 | **14** πῶς P^2 | τῶν θηρίων ἀγριώτεροι P^2P^5 | ἐστέ > P^5 (*am Ende d. Seite*), δ | οἱ] τὰ P^2 r s | πείθονται ἡμῶν τοῖς βουλήμασι διὰ τ. θ. P^5 | γὰρ > C^1 | ἡμῶν > s a | τὸν > P^2LP^3 δ | **15** βουλομένοις C^1 | τῶν — **16** εὐλάβειαν] τὸν δοῦλον αὐτοῦ s | **16** τὴν *vor* τῶν Χρ. P^5LP^3 δ | ἐβλάβειαν P^5 | ἐν τῷ] αὐτῷ δ | **17** ἔθηκε P^1 | παρέθηκε] + τούτοις P^5 | καὶ] + παρακαθεσθεὶς P^5 | ἐνουθέτει] + πολλὰ τούτους P^5 | μεταλαβεῖν τῆς τροφῆς r | τρόπον *aus* τρόπων C^1 | τοῦ τρόπου δ | οἱ — 52,1 ἀνεφάνησαν] οἱ δὲ τοσοῦτον ταῖς αὐτοῦ νουθεσίαις καὶ παραινέσεσιν ἐπείσθησαν, ὡς μὴ μόνον τὸν τρόπον μεταβαλεῖν, ἀλλὰ καὶ εἰς τοσοῦτον ὕψος πολιτείας ἀναδραμεῖν, ὡς πολλῶν κρείττους ἀναφανῆναι P^5 | δὲ > P^1. |

Digitized by Google

παρ' αὐτὰ μεταστάντες κρείττους πολλῶν ἀνεφάνησαν. μετ' οὐ πολὺ δὲ καὶ αὐτοὶ τὰ αὐτὰ σημεῖα ἐπιτελοῦντες ὤφθησαν.

8. Ἄλλοτε δέ, φησίν, ἑνὸς μεγάλου δράκοντος τὴν πλησίον χώραν λυμαινομένου καὶ τὰ πολλὰ τῶν ζώων ἀναιροῦντος ἦλθον οἱ προσοικοῦντες τὴν ἔρημον πάντες ὁμοῦ πρὸς τὸν πατέρα δεόμενοι ἀφανισθῆναι ἐκ τῆς χώρας αὐτῶν τὸ θηρίον. ὁ δέ, ὡς μηδὲν δυνάμενος αὐτοὺς ὠφελεῖν, λυπουμένους τοὺς ἄνδρας ἀπέπεμψεν. 9. ἕωθεν δὲ ἀναστὰς ἐπὶ τὴν δίοδον τοῦ θηρίου ἀπήρχετο. ὡς δὲ ἔκλινε τὰ γόνατα εἰς προσευχὴν ἐπὶ τρίτον, ἤρχετο πρὸς αὐτὸν τὸ θηρίον ῥοιζήματι μεγάλῳ ἆσθμα δεινὸν προπέμπον καὶ φυσῶν καὶ συρίζον καὶ πνοὴν πονηρὰν ἀποπέμπον. ὁ δὲ οὐδὲν φοβηθεὶς ἐπιστραφεὶς πρὸς τὸν δράκοντα εἶπε· ‚χειρώσηταί σε Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι.' 10. καὶ τοῦτο εἰπόντος εὐθὺς ὁ δράκων ἐρράγη πάντα τὸν ἰὸν μετὰ τοῦ αἵματος διὰ τοῦ στόματος ἐξεμέσας. ἐλθόντες δὲ οἱ ἄγροικοι μεθ' ἡμέρας καὶ τὸ μέγα θαῦμα ἐκεῖνο θεασάμενοι καὶ τὴν πνοὴν μὴ φέροντες, ἄμμον πολλὴν ἐπὶ τὸ ζῶον ἐσώρευσαν παρεστῶτος αὐτοῖς ἐκεῖ τοῦ πατρός. οὐ γὰρ ἐτόλμων προσιέναι καίτοι νεκροῦ ὄντος τοῦ δράκοντος.

11. Παῖς δέ, φησί, ποτε ποιμαίνων ἀθρόως ἔτι ζῶντα τὸν δράκοντα θεασάμενος ἐν ἐκστάσει γενόμενος ἐλιποψύχησεν. ἔκειτο οὖν ἄπνους ὁ παῖς ἐν τῷ χωρίῳ παρὰ τὴν ἔρημον πᾶσαν ἡμέραν. εὑρόντες δὲ αὐτὸν πρὸς ἑσπέραν οἱ ἴδιοι μικρὸν ἐμπνέοντα πεφυσημένον ὅλον ἐκ τῆς ἐκστάσεως

$P^2P^5P^1C^1LP^3$ ϑ r s a] **1** παραυτίκα P^2, > a | αὐτῶν ϑ | μεταναστάντες LP^3 ϑ, μεταβαλλόμενοι τὸν τρόπον P^2 | κρείττω P^1C^1 | πολλῶν ἐγένοντο κρείττονες P^2 | **2** τὰ αὐτὰ] τοιαῦτα P^2 | ποιοῦντες P^5 | ἐφάνησαν $P^2P^1C^1$ | **3** ἑνὸς > P^5LP^3 ϑ | τὴν > L | **4** τὰ > P^5 | τῶν] + κτηνῶν καὶ ἀλόγων P^5 | προσῆλθον P^5 | **5** τὴν ἔρημον > P^5 s | ὁμοῦ — πατέρα] τῷ ἁγίῳ ἐκείνῳ P^5 | ὁμοῦ > P^2 | δεόμενοι] + τοῦτον P^2 | ἀφορησθῆναι P^5 | ἐκ — 6 θηρίον] δι' αὐτοῦ τὸ θηρίον ἐκ τῆς χώρας τούτων P^5 | **6** τὸ θηρίον > P^2 | ὡς > P^5 | μὴ P^2 | δυνάμενος] + δῆθεν P^2 | δυνάμενος — 7 ἀπέπεμψεν] δύνασθε πρὸς τοῦτο εἰπὼν ἀπέλυσεν αὐτοὺς λυπομένους P^5 | ὠφελῆσαι P^2 | **7** ἀπέπεμπε P^2, ἀπέστηλεν P^1, ἀπέστρεψεν C^1, ἀπέλυσεν ϑ | ὁδὸν LP^3 ϑ | **8** καὶ ὡς P^2 | δὲ > P^2 | ἐπὶ > P^1C^1 | **9** ῥυζήματι $P^5P^1C^1L$ | ἆσθμα] + τε P^2 | προπέμπων P^2L | **10** φυσοῦν $P^2P^1P^3$ ϑ | συρίζων P^1, *a. Ras.* L | φωνὴν P^2 | πονηρὰν > P^5 | ἀποπέμπων C^1L; + χαλεπωτάτην P^5 | μηδὲν P^5 | **11** πρὸς > ϑ | χειρώσηται P^5LP^3 | ὁ > $P^5P^1C^1$ | **12** τοῦ ζῶντος > s | διαχειρώσασθαι C^1LP^3 ϑ, διαχειρήσασθαι P^5 | **13** ταῦτα εἰπὼν P^2 | μετὰ τ. αἵματος > $P^2P^1C^1$ | **14** ἐξεμέσας διὰ τοῦ στόματος P^5 | διὰ — στόματος > s | ἐξέμεσεν L, ἐξαίμεσεν P^3 | καὶ ἐλθόντες (> δὲ) P^5 | ἄγρ[οι]κοι *a. Ras.* L | ἀγρικοὶ *aus* ἄγριοι *corr.* P^5 | **15** μέγα *a. Anfang der Zeile von m. 2 eingeflickt* C^1 | ἐκεῖνο θαῦμα P^2 | πολὺν P^2 ϑ | **16** τῷ ζώῳ P^2 | σὺν αὐτοῖς P^5 | τοῦ πατρὸς ἐκεῖ P^5 | ἐκεῖ > P^2 s | **17** καίτοι — δράκοντος > s | τοῦ δράκοντος ὄντος (ὄντως P^1) P^1C^1 | **18** δὲ] γὰρ P^5LP^3, > ϑ a | ποτὲ] ἄλλοτε ϑ, > P^2 | ποιμαίνων > P^1C^1 | ἀθρόως *hinter* δράκοντα P^5 | τὸν δράκοντα ζῶντα P^2 | **19** θεασάμενος] + καὶ P^1 | γέγονεν καὶ λιποψυχήσας καὶ ἐπὶ τὴν γῆν πεσὼν P^5 | οὖν > P^5 | ὁ — 20 ἔρημον > P^5 | **20** παρὰ — ἔρημον > s | ὅλην P^5 | πᾶσαν] + τὴν P^5P^1 | αὐτὸν > P^5 | **21** οἱ ἴδιοι πρὸς ἑσπέραν C^1 | μικρὸν ἐμπνέοντα > P^5 | πνέοντα P^2 | ἐκστάσεως] + ἀπὸ φυσήματος τοῦ θηρός· ἔτι δὲ μικρὸν ἐμπνέοντα P^5. |

Digitized by Google

ἄγουσι πρὸς τὸν πατέρα ἀγνοοῦντες τὴν αἰτίαν τοῦ συμβάντος αὐτῷ. εὐξαμένου δὲ αὐτοῦ καὶ ἐλαίῳ αὐτὸν χρίσαντος ἀνέστη ὁ παῖς διηγούμενος τὸ ὁραθέν. ὅθεν μάλιστα κινηθεὶς ὁ ἀνὴρ πρὸς τὴν ἀναίρεσιν ἐτράπη τοῦ δράκοντος.

X. Περὶ Κόπρη.

1. Ἦν δέ τις πρεσβύτερος ἔχων πλησίον ἐκεῖ μοναστήριον ἐν τῇ ἐρήμῳ, Κόπρης λεγόμενος, ἀνὴρ ἅγιος ἐτῶν σχεδὸν ἐνενήκοντα, ἡγούμενος ἀδελφῶν πεντήκοντα. ὃς καὶ αὐτὸς πλείστας δυνάμεις ἐποίει θεραπεύων τὰς νόσους καὶ ἰάσεις [πολλὰς] ἐπιτελῶν καὶ δαίμονας ἀπελαύνων καὶ πολλὰ θαύματα διαπραττόμενος, τινὰ μὲν καὶ ἐν ὄψεσιν ἡμετέραις. 2. ὡς γοῦν ἡμᾶς ἐθεάσατο, ἠσπάσατο καὶ ὑπερηύξατο καὶ τοὺς πόδας ἡμῶν νίψας ἠρώτα ἡμᾶς τὰ ἐν τῷ κόσμῳ πραττόμενα. ἡμεῖς δὲ ἠξιοῦμεν αὐτὸν μᾶλλον ἡμῖν τῆς οἰκείας πολιτείας τὰς ἀρετὰς ὑφηγήσασθαι, καὶ ὅπως αὐτῷ ὁ θεὸς τὰ χαρίσματα ἐχαρίσατο καὶ ἐκ ποίας μεθόδου ταύτης ἔτυχε τῆς χάριτος. ὁ δὲ μηδὲν ὑπερήφανον λογισάμενος ὑφηγεῖτο ἡμῖν τόν τε ἑαυτοῦ βίον καὶ τῶν αὐτοῦ προγενεστέρων μεγάλων καὶ πολλῷ μειζόνων αὐτοῦ γεγονότων ὧν αὐτὸς τὴν πολιτείαν ἐμιμήσατο. ‚οὐδὲν γάρ, φησί, θαυμαστόν, ὦ τέκνα, τὸ ἐμὸν ἔργον πρὸς τὸ τῶν πατέρων ἡμῶν πολίτευμα‘.

4 C. 9 r, c. 54 ϑ. Cf. Sozom., h. e. VI 28,4: φασὶ δὲ Κόπρη μὲν δωρηθῆναι θεόθεν ἰάσεις παθῶν καὶ νοσημάτων ποικίλων καὶ δαιμόνων κρατεῖν.

$P^{2}P^{5}P^{1}C^{1}LP^{3}$ ϑ r s a] **1** ἄγουσι — πατέρα > P^{2} | ἄγουσι] βαστάσαντες ἀπήνεγκαν P^{5} | ἐπὶ P^{5} | πατέρα] μακάριον s; + ἀμμοῦν P^{5} s | ἀγνοοῦντες] + μέντοι παντελῶς P^{5} | ἠγνόουν P^{2} | **2** δὲ] οὖν P^{2} | αὐτοῦ] τοῦ ἁγίου P^{2} | ἔλαιον P^{2} | τοῦτον P^{5} | αὐτῷ $P^{2}P^{1}$ | χρίσαντος] + εἰς ἑαυτὸν ἐλθὼν P^{5}, *wurde gesund u.* s | ὁ παῖς ἀνέστη καὶ διηγήσατο P^{5} | τὸ ὁραθέν] ὅπως ἐκ τῆς ἀθρόας τοῦ θηρὸς θέας τούτῳ συνέβη αὐτῷ P^{5} | τὸ συμβὰν αὐτῷ s | φοραθὲν $P^{1}C^{1}$ | [ὁρ]αθὲν *a. Ras.* L | **3** ὅθεν] διὸ LP^{3} ϑ, ἐν γὰρ τούτῳ P^{2}; + καὶ P^{5} | ἀνὴρ] ὅσιος P^{5} s. |

4 $P^{2}P^{5}P^{1}C^{1}MLP^{3}$ ϑ r s a] περὶ] + τοῦ ἀββᾶ $P^{2}P^{5}$ s, ἀββᾶ LP^{3} ϑ | Κόπρη] + πρεσβυτέρου LP^{3} ϑ; *u. des seligen Patermutios* s | **5** ἦν — πρεσβύτερος] εἴδομεν δὲ πάλιν ἄνδρα ἅγιον (*v. l.* πρεσβύτερον ὀνόματι Κύπρος) s | ἐν ἐκείνῃ τῇ ἐρήμῳ *nach* πρεσβύτερος P^{5} | ἔχων — μοναστήριον > a | ἐκεῖ > P^{1} | **6** κόπρις (*so stets*) C^{1} | ἅγιος] + καὶ ἀρετῇ πάσῃ κεκοσμημένος ὑπάρχων P^{5} | ἀνὴρ — ἐνενήκοντα > s | σχεδὸν ἐτῶν P^{2} | ἐτῶν *s. l. m. 2?* P^{5} | ἡγούμενος — 7 πεντήκοντα LP^{3} ϑ s a, > $P^{2}P^{5}P^{1}C^{1}M$ | **7** ὡς P^{2} | πλείστας] θεία P^{2}, πολλῇ s | δυνάμει P^{2} s | **8** πολλὰς] πλείστας P^{2}, > $P^{1}C^{1}M$ | καὶ³] + ἕτερα P^{5} | πολλὰ] ἕτερα s | **9** ἀποπραττόμενος LP^{3} ϑ | μὲν] δὲ P^{5}, γοῦν $P^{1}C^{1}$, γὰρ M | ἐπ' $P^{2}P^{5}$ | οὖν P^{1} | **10** ἠσπάσατο > ϑ | **11** ἡμᾶς > $P^{2}P^{5}$ | τὰ] *s. l.* L, περὶ τῶν P^{5} | διαπραττομένων P^{5} | μᾶλλον *nach* δὲ $P^{2}P^{5}$ | **12** ἡμῖν > $P^{2}P^{5}$ | οἰκείας] + αὐτοῦ LP^{3} ϑ | ἀφηγήσασθαι ἡμῖν P^{2}, ἐξηγήσασθαι ἡμῖν P^{5} | διηγήσασθαι C^{1} | πῶς $P^{2}P^{5}LP^{3}$ ϑ | ὁ θεὸς *nach* 13 χαρίσματα MLP^{3} ϑ | **13** τὰ] + τοιαῦτα καὶ τοσαῦτα P^{5} s | ἐδωρήσατο $P^{5}LP^{3}$ ϑ | καὶ — χάριτος > P^{5} | ἔτυχε] εἰλήφει LP^{3} ϑ, μετειλήφει P^{2} | **14** ἀφηγήσατο P^{5} | τε > $P^{5}LP^{3}$ ϑ | αὐτοῦ P^{1} | **15** τῶν] ἄλλων P^{5} | προγενεστέρων αὐτοῦ P^{5} | προγενεστέρων] + καὶ LP^{3} ϑ | μεγάλων > $P^{5}C^{1}$ | πολλῶν LP^{3} | μείζω P^{1}, μείζων LP^{3} | μειζόνων — 16 ὧν] ἁγίων P^{2} | αὐτῷ M, > P^{5} | **16** ὧν] ἣν P^{2} | αὐτὸς > $P^{5}MLP^{3}$ ϑ | πολιτείαν] + αὐτὸς καλῶς καὶ εὐαρέστως P^{5} | ἐμιμεῖτο LP^{3} ϑ | οὐδὲν — 17 πολίτευμα] διὸ καὶ ἔλεγεν· οὐδαμῶς ἐστιν, ὦ τέκνα, θαυμαστὸν τὸ ἐμὸν ἔργον πρὸς τὴν πολιτείαν συγκρινόμενον τῶν πρὸ ἐμοῦ ἁγίων πατέρων P^{5} | γὰρ > P^{2} | **17** ὦ τέκνα *nach* ἔργον LP^{3} ϑ | ἡμῶν] + ὑπάρχει P^{2} | πολίτευμα] *in* LP^{3} *folgt c. XXVII:* περὶ Εὐαγρίου. |

Digitized by Google

XI. Περὶ Πατερμουθίου.

1. Ἦν γάρ τις πατὴρ πρὸ ἡμῶν, ὀνόματι Πατερμούθιος, πρῶτος τῶν ἐν τῷ τόπῳ τούτῳ μοναχῶν αὐτὸς γενόμενος καὶ τὸ μοναχικὸν ἔνδυμα τοῦτο πρῶτος ἐφευρών. οὗτος ἀρχιληστὴς πρῶτον καὶ νεκροτάφος Ἑλλήνων ὑπάρχων καὶ διαβόητος ἐπὶ κακίᾳ γενόμενος πρόφασιν ηὕρατο σωτηρίας τοιαύτην. 2. ἐπέστη γάρ ποτε νυκτός τινι παρθενευούσῃ συλῆσαι τὸ μοναστήριον αὐτῆς προθυμηθείς. ηὑρέθη δὲ μηχανῇ τινι ἐπὶ τὰ δώματα· μὴ εὑρὼν δὲ ποίας ὁδοῦ εἰσέλθῃ εἰς τὸ ταμεῖον ἢ πάλιν ποίας ὑποχωρήσῃ, ἔμεινε λογιζόμενος ἐπὶ τοῦ δώματος ἄχρις ἡμέρας. μικρὸν δὲ ἀφυπνώσας ὁρᾷ ὥσπερ βασιλέα τινα λέγοντα αὐτῷ κατὰ τοὺς ὕπνους· ‚μὴ περὶ τοὺς φόνους ἔτι καὶ τῶν μιαρῶν τούτων κλεμμάτων σπουδὴν ἔχων ἐπαγρύπνει. ἀλλ' εἰ βούλῃ μεταβαλεῖν τὸν τρόπον ἐπ' ἀρετὴν καὶ ἀγγελικὴν στρατηγίαν ἐπαναλαβεῖν, παρ' ἐμοῦ λήψῃ ταύτην τὴν ἐξουσίαν.' ὁ δὲ ὡς ἀσμένως ὑπεδέξατο, τάγμα ὑποδείκνυσιν αὐτῷ μοναχῶν καὶ ἄρχειν αὐτῶν παρεκελεύετο. 3. ἔξυπνος δὲ γενόμενος ὁ ἀνὴρ ὁρᾷ τὴν παρθένον

---

1 (C. 9 r). Cf. *J. B. Cotelerius*, Ecclesiae Graecae monumenta III, 177—184. Cf. c. 22 *δ*.

$P^2P^5P^1C^1MLP^3$ r s a] **1** περὶ Πατερμουθίου > P^1 r s a | περὶ] + τοῦ P^2P^5 | πατερμουθίου $P^5P^2P^3$, πατερμουτίου (*so stets*) L s | **2** γὰρ — πατὴρ] δὲ καὶ ἕτερός τις P^5 | γὰρ *m. 2. s. l.* P^2 | πατήρ τις P^1M | ἡμῶν] + πατὴρ P^5 | παθερμούθιος (*so stets*) P^1C^1, πατερμούτιος (*so stets*) P^3, Pater nomine Mutius r (*doch* Col. 425 C 18 Patermutius, 424 B 9 Patrem Mutium), Miūsis (= Μωυσῆς) a | πρῶτος] ἀρχηγὸς P^5 | **3** τούτων L | μοναχῶν, ν *s. l.*, ω *aus etw. and. corr.* M | αὐτὸς > P^5 | γενόμενος] + ὃς P^2, ὁ LP^3 | καὶ — 3 ἐφευρὼν > P^5 | μοναχικὸν P^2LP^3 a, μοναδικὸν P^1C^1M | **4** πρῶτος] + αὐτὸς P^1, αὐτοῖς MLP^3 | ἐξεῦρεν P^2, ἐφεξεῦρεν C^1, ἐφεξηῦρεν, *am Rand zu* ἐπεξηῦρεν *corr.* M | οὗτος] αὐτὸς LP^3 a | πρῶτος P^2LP^3; + αὐτοῖς ἐφευρὼν *del. punctis superpos.* P^3 | ἦν δὲ πρώην ἀρχιληστὴς P^5 | καὶ — 5 ὑπάρχων > P^5 | **5** γενόμενος > P^5 | πρόφασιν] + δὲ P^5 | ηὕρατο] + τῆς P^5 | **6** τοιαύτην] η *auf andere Bst.* (αι?) *aufgeschr.* L | γάρ > P^5 LP^3 | νυκτὸς > P^5M s | παρθένῳ P^5 | συλῶσαι C^1M | **7** αὐτῆς > P^1C^1 | διανοηθεὶς P^2, βουλόμενος P^5 | τινι] τις P^2 | τῶν δωμάτων P^5 | **8** καὶ μὴ P^2P^5 | δὲ] + διὰ P^1; > P^2P^5 | ποίας¹] πῶς P^2 | ὁδοῦ > $P^5P^1LP^3$ | ταμιεῖον P^1L, μοναστήριον P^5C^1 | πάλιν > P^5 | πῶς πάλιν P^2 | **9** ὑποχωρήσει P^5ML | λογιζόμενος > P^2P^5 | καὶ μικρὸν (> δὲ) P^5LP^3 | **10** ὁρᾷ] + κατ' ὄναρ P^5 s | ὡς LP^3 | περ] τινα P^5 | βασιλέως τινος λέγοντος LP^3 | τινα] φοβερὸν P^5 | κατὰ τ. ὕπνους > P^2P^5 | **11** μὴ] μηκέτι P^5; + ἔσο P^2 | φόνους] τάφους C^1M | ἔτι > P^2P^5 | τὰ μικρὰ ταῦτα κλέμματα P^2, τὰ κλέμματα P^5 | μιαρῶν s a, μικρῶν O | κλεμμάτων] + τὴν LP^3 | σπουδὴν ἔχων] καταναλίσκῃς σου τὰς ἡμέρας εἰς κενὸν τοῖς ματαίοις ἐπαγρυπνῶν P^5, > P^2 | **12** ἔχειν LP^3 | ἐπαγρυπνῶν P^2, ἐπαγρυπνῶντα L, ἐπαγρυπνοῦντα P^3 | βούλει P^5, βούλοιτο L, βουληιτο, η *auf* ο *oder umgek.* P^3 | μεταβάλλειν P^3 | ἐπ'] εἰς P^2, περὶ τὴν P^1C^1M | **13** στρατηγίαν L, στρατηιαν, *über* ι *von m. 2?* γει P^3 | στρατηγίαν (στρατείαν P^5) ἀγγελικὴν στρατηγεῖν (στρατεύειν P^5) P^5LP^3 s | λαβεῖν LP^3, παραβαλεῖν P^2, ἐπαναλαβεῖν P^1C^1M | παρ' — ἐξουσίαν] ἕξεις με βοηθὸν καὶ ἀντιλήπτορα P^5 | ἐμοῦ] αὐτοῦ LP^3 | λήψῃ > LP^3 | **14** ὁ — ὑπεδέξατο] καὶ s | ὡς > P^5L | ἀσμένος P^5 | ἀπεδέξατο P^5 | καὶ δὴ τάγμα LP^3, τὸ πρᾶγμα καὶ δὴ τάγμα P^5 | τάγμα ἅγιον μοναχῶν αὐτῷ ὑποδείκνυσιν P^5, τ. μοναχῶν ὑποδείκνυσιν αὐτῷ LP^3 | μοναχῶν/////////// (*c. 8—9 Bst. ausr.*) L | **15** αὐτὸν L | παρθένον] + τὴν κυρίαν τοῦ μοναστηρίου P^5. |

Digitized by Google

αὐτῷ παρεστῶσαν καὶ λέγουσαν· ‚πόθεν σὺ παραγέγονας ὧδε, ὦ ἄνθρωπε, ἢ τίς ὑπάρχεις τὴν τύχην;‘ ὁ δὲ μηδὲν εἰδέναι φήσας αὐτῇ τὴν ἐκκλησίαν ἐπιδείκνυσθαι αὐτῷ παρεκάλει. καὶ δὴ ὡς ἐπέδειξεν, προσπεσὼν τοῖς τῶν πρεσβυτέρων ποσὶν ἠξίου Χριστιανὸς γενέσθαι καὶ μετανοίας χώραν εὑρεῖν. 4. ἐπιγνόντες δὲ αὐτὸν οἱ πρεσβύτεροι ἐθαύμασαν καὶ ἐνουθέτουν λοιπὸν καὶ ἐδίδασκον τοῦ μηκέτι εἶναι ἀνδροφόνον. ἠξίου δὲ αὐτοὺς τῶν ψαλμῶν ἐπακούειν καὶ τριῶν στίχων ἐπακούσας μόνον τοῦ πρώτου ψαλμοῦ ἀρκεῖν ἑαυτῷ τέως ταῦτα ἔφη πρὸς μάθησιν. καὶ ἐπιμείνας πρὸς αὐτοὺς τρεῖς ἡμέρας ἐξελθὼν εὐθὺς ἐπὶ τὴν ἔρημον ὥρμησεν. καὶ τριετῆ διάγων χρόνον κατὰ τὴν ἔρημον ἐν εὐχαῖς καὶ δάκρυσι διημερεύων πρὸς τροφὴν ταῖς ἀγρίαις βοτάναις ἠρκεῖτο [καὶ ταύτας ἐνέμετο]. 5. ἐπανῆλθε δὲ εἰς τὴν ἐκκλησίαν ἔμπρακτον ἀπαγγέλλων τὸ μάθημα. χάριν δὲ αὐτῷ δεδόσθαι θεόθεν ἔλεγεν ἀποστηθίζειν ἔξωθεν τὰς γραφάς. ἐθαύμαζον δὲ αὐτὸν πάλιν οἱ πρεσβύτεροι ἀκροτάτην μετελθόντα τὴν ἄσκησιν καὶ φωτίσαντες αὐτὸν παρεκάλουν συνδιατρίβειν αὐτοῖς. 6. ὁ δὲ ἐπιμείνας πρὸς αὐτοὺς ἑπτὰ ἡμέρας ἐπὶ τὴν ἔρημον πάλιν ἐξῄει, καὶ δὲ ἐν ἑπτὰ ἔτεσιν ἄλλοις ἐν τῇ πανερήμῳ διατελέσας πολλῆς χάριτος ὁ ἀνὴρ ἠξιώθη. ἄρτος μὲν γὰρ αὐτῷ τῇ κυριακῇ μόνῃ πρὸς κεφαλὴν ηὑρίσκετο εὐξαμένῳ· οὗ μεταλαμβάνων ἕως τῆς ἄλλης κυριακῆς ἠρκεῖτο.

7. Ἐπανῆλθε δὲ πάλιν ἐκ τῆς ἐρήμου τὴν ἄσκησιν ἐνδεικνύμενος καί τινας πρὸς τὴν αὐτοῦ πολιτείαν ἐλθεῖν ἐρεθίζων. προσῆλθε δὲ αὐτῷ τις

---

5 § 4 Cf. Socrates, hist. eccl. IV, 23 (p. 194 *Bright*).

$P^2P^5P^1C^1MLP^3$ r s a] **1** ἑαυτῷ P^3 | αὐτῷ *vor* λέγουσαν M, *danach* P^5 | ὧδε > P^1C^1M | **2** ψυχὴν MLP^3 | εἶναι P^1C^1M | φήσαντος L | **3** ὑποδεῖξαι P^2, ὑποδείκνυσθαι P^5LP^3 ϑ | αὐτῆι P^1 | παρεκάλει αὐτῇ P^2 | ὑπεδείχθη αὐτῶ P^2, ὑπέδειξεν P^5 | **4** γόνασιν $P^2P^5LP^3$ | **5** εὑρεῖν] + ἕλλην γὰρ ἦν P^5 | καὶ θαυμάσαντες $P^2P^5LP^3$ | θαυμάσαντες] + τὰς τῶν χριστιανῶν παραδόσεις P^5 | ἐνουθέτουν — 6 καὶ > P^5 | **6** λοιπὸν — ἐδίδασκον > s | ἐδίδασκον] + καὶ κατηχήσαντες κατὰ τὸ εἰωθὸς ἐβάπτισαν καὶ ἐνουθέτουν λοιπὸν P^5 | τοῦ > P^2 | ἀνδροφόνον] + ἀλλὰ τὰς ἐντολὰς φυλάττειν τοῦ κυρίου καὶ τῆς μετανοίας ἀντέχεσθαι P^5 | αὐτοῖς L | **7** ὑπακούειν P^2M | τριῶν — ψαλμοῦ] τρεῖς μόνον μαθὼν ψαλμοὺς P^5 | ἐπακούσας Schw., cf. P^1, ὑπακούσας *rell.*; ὑπακούσας μόνων C^1M, ἐπακούσας μόνων *vor* ψαλμοῦ P^1 | μόνον > P^2 | **8** αὐτῶ P^2 | ἔφη ταῦτα P^1C^1, > P^2P^5 | ἔφη > M | μάθησιν] + ἔκρινε P^2 | **9** ἡμέρας τρεῖς P^2, ἡμέρας τινας καὶ διδαχθεὶς τὰ κρείττονα P^5 | εὐθὺς ἐξελθὼν P^2 | διάξας P^5, διάγων (δι *s. l.*) ἐν αὐτῇ M | **10** κατὰ τὴν ἔρημον *vor* διημερεύων P^2 | κατὰ τ. ἔρημον > M | ἐν > P^2 | **11** ταῖς ἀγρίαις πρὸς τροφὴν M | καὶ τ. ἐνέμετο > $P^2P^1C^1M$ s | ταύταις P^5 | δὲ] + μετὰ τοὺς τρεῖς χρόνους P^5 s | **12** τὴν μάθησιν P^2 | χάρις C^1 | γὰρ] δὲ P^5LP^3 ϑ s | **13** θεόθεν δεδόσθαι P^2 | ἔξωθεν > P^5 | τὰς γραφὰς ἔξωθεν P^2 | γραφὰς] + τὰς ἁγίας *i. mg.* Cotelier | **14** πάλιν αὐτὸν $P^2P^5P^1$ | ἄσκησιν μετελθόντα ἀκροτάτην P^5 | τὴν > P^5 | φωτίσαντες αὐτὸν > P^5 | **15** αὐτὸν] + ἐβάπτισαν καὶ s | αὐτοῖς P^2P^5 r s a, > *rell.* | ὁ] ὡς P^2 | ἐπέμεινε P^2 | σὺν αὐτοῖς P^2 | **16** ἑπτὰ (+ ἄλλα P^2 s) ἔτη $P^2P^1C^1M$ s | **17** τῇ πανερήμῳ] τῇ ἐρήμω P^5, αὐτῇ P^2 | ἠξίωται ὁ ἀνὴρ P^2 | μὲν > P^2 | **18** αὐτῷ > P^1 | μόνον P^1, *str.* Schw. | εὑρίσκετο πρὸς κεφαλὴν P^5 | κεφαλῆς P^2M | εὐξαμένου P^1C^1, > P^2 | οὗ] οὖν L | **19** τῆς > P^1C^1M | **20** ἐν τῇ ἐρήμω P^2 | **21** ἑαυτοῦ P^2 | ἐλθεῖν > C^1 | ἀνερεθίζων C^1 | δὲ] οὖν P^5 | τις αὐτῶ P^2. |

Digitized by Google

νεανίας μαθητευθῆναι βουλόμενος. ὁ δὲ εὐθὺς ἐνδύσας αὐτὸν λευιτῶνα καὶ κουκούλλιον αὐτοῦ τῇ κεφαλῇ περιθεὶς ἐπὶ τὴν ἄσκησιν προσεβίβαζεν τὴν μηλωτὴν περὶ τοὺς ὤμους αὐτοῦ περιθέμενος καὶ λέντιον αὐτὸν περιζωσάμενος. καὶ δὴ εἴ πού τις τῶν Χριστιανῶν ἐτελεύτα προσκαρτερῶν αὐτῷ ταῖς ἀγρυπνίαις καθαρίως ἐκήδευεν. 8. ἰδὼν δὲ αὐτὸν ὁ μαθητὴς θαυμασίως τοὺς τεθνεῶτας κηδεύοντα εἶπε πρὸς αὐτόν· ‚εἰ κἀμὲ θανόντα οὕτως κηδεύσεις, διδάσκαλε;' ὁ δὲ πρὸς αὐτὸν ἔφη· ‚οὕτω κηδεύσω σε, ἄχρις ἂν εἴπῃς· »ἀρκεῖ«'. 9. μετ' οὐ πολὺ δὲ τοῦ χρόνου τέθνηκεν ὁ νεανίας καὶ ὁ λόγος ἔργον ἐγένετο. κηδεύσας γὰρ αὐτὸν εὐσεβῶς λέγει πρὸς αὐτὸν ἐπὶ πάντων· ‚καλῶς ἐκηδεύθης, ὦ τέκνον, ἢ ἔτι μικρὸν λείπεται;' φωνὴν δὲ ἀφῆκεν ὁ [τεθνηκὼς] νεανίας εἰς ἐπήκοον πολλῶν· ‚ἔχει καλῶς, ὦ πάτερ· τὴν [γὰρ] ἐπαγγελίαν ἐπλήρωσας.' θαῦμα δὲ τοὺς παρόντας ἔσχεν ἐξαίσιον καὶ ἐδόξαζον ἐπ' αὐτῷ τὸν θεόν. ὁ δὲ ἐπὶ τὴν ἔρημον εὐθὺς ἀνεχώρει τὴν εὐδοξίαν ἐκκλίνων.

10. Καὶ δή ποτε ἐκ τῆς ἐρήμου κατῄει εἰς ἐπίσκεψιν ἀδελφῶν τῶν παρ' αὐτοῦ μαθητευθέντων νόσῳ κατειλημμένων. καὶ μέλλοντος τοῦ ἑνὸς αὐτῶν τελευτᾶν, τοῦτο τοῦ θεοῦ αὐτῷ ἀποκαλύψαντος — ἡ ἑσπέρα δὲ ἤδη προσῆγε καὶ ἡ κώμη πόρρω ἐτύγχανε — μὴ βουλομένου δὲ αὐτοῦ νυκτὸς εἰσελθεῖν εἰς τὴν κώμην, τὴν ἀκαιρίαν ἐκκλίνοντος καὶ τὸ σωτήριον ἐπάγγελμα μελετῶντος· περιπατεῖτε ἕως τὸ φῶς ἐν ὑμῖν ἔχετε, καὶ ὁ πορευόμενος ἐν τῷ φωτὶ οὐ μὴ προσκόψῃ, δύνοντος οὖν λοιπὸν

20 Joh. 12,35. — Cf. Joh. 11,9.

$P^2P^5P^1C^1MLP^3$ r s a] **1** ἐνέδυσεν αὐτὸν εὐθὺς P^2 | **2** κουκούλιον P^2C^1M | αὐτῷ P^3, > $P^2P^1C^1M$ | τὴν κεφαλὴν L | περιέθηκε P^2 | περιθεὶς] + κατὰ τὸν τύπον τῶν ταβεννησιωτῶν μοναχῶν P^5 | ἐπὶ — 3 περιθέμενος > P^2 | προεβίβαζε P^1, προεβίβαζεν C^1LP^3 | **3** μηλωτὴν] + αὐτῷ P^1C^1 | ἐπὶ C^1 | αὐτοῦ > P^1C^1 | ἐπιθέμενος P^1M | καὶ — περιζωσάμενος > P^5 r | αὐτῷ P^1C^1M | περιέζωσεν P^2 | **4** που εἴ τις P^2 | **5** αὐτοῦ $P^2P^5LP^3$ *δ* s | ταῖς ἀγρυπνίαις > P^1C^1M | καθαρῶς P^5 | ἐκήδευον P^2 | ἰδὼν] ν *s. l. m. 2* C^1 | αὐτὸν > P^1M | μαθητὴς] + αὐτοῦ P^2P^1M | **6** θαυμαστῶς P^2 | τεθνηκότα P^2 | κηδεύοντας L | **7** οὕτω P^2 | κηδεύσῃς P^5L | οὕτως M | σε > C^1M | **8** ἕως M | πολὺν οὖν χρόνον P^2 | τοῦ > P^5P^1 | χρόνον P^5P^1 | **9** λόγος] + εἰς $P^2P^1C^1M$ | ἐγίνετο M, γέγονε P^2 | εὐπρεπῶς M, > P^5 | ἔφη P^2, εἶπε P^1, εἶπεν C^1, εἴρετο M | **10** πρὸς αὐτὸν > P^5 | αὐτὸν] + *mit erhobener Stimme* s | ὦ > P^5 s | μικρὸν] + τι P^1 | **11** δὲ > P^1LP^3 | ὁ νεανίας *nach* φωνὴν P^1 | τεθνηκὼς > $P^2P^1C^1M$ | τῶν πολλῶν P^2LP^3 | πάντων P^5 s | καλῶς ἔχει P^2C^1 | ἔχεις L | **12** γὰρ > P^1C^1M; *nach* γὰρ *ein vom Rubrikator ausgestr.* ἐλπίδα P^5 | δὲ] οὖν P^2 | εἶχεν P^2 | **13** ἐθαύμαζον LP^3 | ἐπ' αὐτῷ > P^5 s | εὐθὺς > $P^2P^1C^1$ | **14** ἀνεχώρησεν P^5 | ἀνθρωπίνην δόξαν P^5 | **15** ἐρήμου] + πάλιν P^5 | **16** ὑπ' P^2 | νόσῳ κατειλημμένων > P^2 r | νόσοις P^1C^1M | καὶ > P^1 | μέλλοντος *nach* 17 τελευτᾶν P^2 | τοῦ > P^2 | **17** τοῦτο *vor* αὐτῷ P^5, *danach* M | αὐτοῦ P^3, αὐτὸ C^1 | ἡ] + δὲ P^2, > P^5LP^3 *δ* | **18** προῆγεν L, προσήγγισε P^1, προσήγγισεν C^1M | ἡ — ἐτύγχανε > P^5 | δὲ > P^5 | αὐτοῦ > P^2 | **19** εἰς τὴν κώμην (αὐτὴν s) P^1C^1M s a, > $P^2P^5LP^3$ | εἰσελθεῖν] ὁδοιπορεῖν P^5 | ἐκκλίναντος C^1 | **20** μελετῶντος] + τὸ P^2 | περιπατεῖτε] + ἐν φωτὶ s | ὡς $TP^2P^1C^1$ | ἔχετε ἐν ἡμῖν L | ἐν ὑμῖν > TP^5 | **21** δυνομένου P^5LP^3 *δ* | οὖν > P^2 | λοιπὸν > P^1L. |

Digitized by Google

τοῦ ἡλίου φωνὴν ἐφθέγξατο πρὸς αὐτὸν λέγων· ‚ἐν ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, στῆθι μικρὸν ἐπ᾿ αὐτῷ τῆς ὁδοῦ σου, ἄχρις ἂν εἰς τὴν κώμην ἀφίκωμαι.‘ 11. ὁ δὲ ὡς ἡμικύκλιον δυόμενος περιέστη καὶ οὐ πρὶν ἔδυ, ἄχρις [ἂν] ἐκεῖνος ἧκε πρὸς τὸ χωρίον, ὡς φανερὸν τοῦτο τοῖς ἐγχωρίοις γενέσθαι. οἳ πρὸς τὴν τοῦ ἡλίου θέαν συνδρομὴν ποιησάμενοι ἐθαύμαζον ἐπὶ πολλαῖς ὥραις θεωροῦντες αὐτὸν μὴ δυόμενον. ἰδόντες δὲ τὸν Πατερμούθιον ἐκ τῆς ἐρήμου ἐρχόμενον ἐπυνθάνοντο παρ᾿ αὐτοῦ, τί τὸ σημεῖον τοῦτο ἄρα εἴη τὸ τοῦ ἡλίου. 12. ὁ δὲ φησὶ πρὸς αὐτούς· ‚οὐ μὴ μέμνησθε τὴν τοῦ σωτῆρος φωνὴν λέγουσαν· ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως καὶ μείζονα τούτων σημεῖα ποιήσητε;‘ τοὺς δὲ εὐθὺς εἰσῆλθε φόβος. παρέμειναν δὲ αὐτῷ τινες ἐξ αὐτῶν μαθητεύοντες.

13. Εἰσελθὼν δὲ εἰς τὴν οἰκίαν ἑνὸς τῶν ἀδελφῶν τῶν νοσούντων καὶ εὑρὼν αὐτὸν ἤδη θανόντα, προσελθὼν τῇ κλίνῃ καὶ προσευξάμενος καὶ καταφιλήσας αὐτὸν ἠρώτα, εἰ πρὸς θεὸν βούλοιτο ἀπιέναι μᾶλλον ἢ ἔτι ζῆν ἐν σαρκί. 14. ὁ δὲ ἀνακαθίσας εἶπεν αὐτῷ· ‚κρεῖσσον τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι. τὸ δὲ ζῆν ἐν σαρκὶ οὐκ ἀναγκαῖον ἐμοί.‘ ‚οὐκοῦν κάθευδε, φησίν, ἐν εἰρήνῃ, ὦ τέκνον, πρεσβεύων ὑπὲρ ἐμοῦ πρὸς τὸν θεόν.‘ ὁ δὲ ὡς εἶχεν εὐθὺς ἀναπεσὼν ἐκοιμήθη. οἱ δὲ παρόντες πάντες ἐξεπλάγησαν λέγοντες· ‚ἀληθῶς θεοῦ ἄνθρωπος ἐστὶν οὗτος.‘ κηδεύσας δὲ αὐτὸν καθαρίως ἐν ὕμνοις πᾶσαν τὴν νύκτα διετέλεσεν.

15. Ἕτερον δὲ κάμνοντα ἀδελφὸν ἐπισκεψάμενος, ὡς εἶδεν αὐτὸν δυσφοροῦντα πρὸς τὴν τελευτὴν δεινῶς ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενον, ἔλεγεν πρὸς αὐτόν· ‚ὡς ἀνέτοιμος ὑπάγεις πρὸς τὸν θεὸν κατηγόρους

---

2 Cf. Jos. 10,12 f. **9** Mt. 17,20. **10** Cf. Joh. 14,12. **15** Phil. 1,23.

$P^2P^5P^1C^1MLP^3$ r s a] **1** ἡλίου] + λοιπὸν P^1L | φωνῇ C^1 | τοῦ > P^2 | κυρίου] + ἡμῶν P^5 | **2** στῆθι] + μοι P^2LP^3 | ἐπ᾿ αὐτῷ > P^5 s | αὐτό P^1C^1M | **3** δὲ] + ἥλιος P^5 | ἡμικυκλίου P^1 | δύνων P^2 | καὶ > C^1M | οὐ πρὶν] οὐκ P^2 | πρὶν] πρώην P^5 | **4** ἂν] οὗ P^2; *str.* Schw. | οὗτος P^2 | ἧκε — χωρίον] εἰς τὴν κώμην ἔφθανεν P^2 | **5** ποιησάμενον L | **6** πολλαῖς] + ταῖς L | δύνοντα P^2 | **7** δὲ] οὖν P^2; > M | τὸν] + πατέρα P^1C^1M s^c | ἐρχόμενον ἐκ τῆς ἐρήμου P^5 | ἐρχόμενον > P^1C^1M | **8** ἄρα τοῦτο C^1 | τὸ > P^2C^1 | **9** τῆς . . . φωνῆς λεγούσης P^2 | ἔχετε LP^3 | **10** καὶ > P^2 | ποιήσετε (ποιήσεται P^5) σημεῖα $P^5P^1C^1M$ | **11** εὐθέως P^5 | ὑπεισῆλθεν C^1, ὑπεισῆλθε M | φόβος] φῶς C^1M | φόβος] + καὶ ἐδόξαζον τὸν θεὸν P^5, καὶ P^2 | δὲ] τε LP^3, > P^2 | μαθητευθέντες P^2, μαθητευόμενοι P^1, μαθητεύσαντες C^1M | **12** δὲ] οὖν P^5 | νοσοῦντος P^2 r s | **13** ἤδη αὐτὸν P^2 | αὐτὸν > C^1 | **15** κρεῖσ||κρεῖσσον, *erstes* κρεῖσ *durchgestr.* P^5 | **16** τὸ δὲ] τοῦ P^1 | δὲ] *s. l. m. 2* P^3; γὰρ C^1, > M | οὐκ — ἐμοί > P^1 | ἐμοί] μοι ἐστὶν P^2 r | οὐκοῦν] + καὶ P^2 | **17** ὦ > P^5 s | τὸν > P^2P^1 | **18** εἶχεν] εἶπεν LP^3 s, ἤκουσεν P^5 | εὐθέως P^2 | πάντες δὲ οἱ παρόντες P^5 | πάντες > M | **19** ἀληθῶς] + δι᾿ ἃ ἐτέλεσεν P^1C^1M | ἄνθρωπος θεοῦ C^1 | οὗτος > P^1 | δὲ] οὖν M | **20** αὐτὸν > C^1 | καλῶς P^5, > P^2 | ἐν > C^1M | διετέλεσαν P^1C^1M | **21** καὶ ἕτερον P^3 | ἀδελφὸν κάμνοντα LP^3, > P^5 | **22** ἐλεγχόμενο//////ν C^1, ἐλεγχόμενος L | **23** πῶς P^5 | ἀνετοίμως P^1 | ὑπάρχεις L | τὸν > P^5 | θεὸν] + ἀδελφὲ P^5. |

Digitized by Google

φέρων τοὺς λογισμοὺς τῆς ῥαθύμου σου πολιτείας.‘ ὁ δὲ ἐδέετο αὐτοῦ καὶ ἱκέτευε πρεσβεύειν ὑπὲρ αὐτοῦ πρὸς τὸν θεόν, χρόνον ἐνδοῦναι αὐτῷ μικρὸν τῇ ζωῇ μέλλων ἐπανορθοῦσθαι. 16. ὁ δὲ φησὶ πρὸς αὐτόν· ‚νῦν καιρὸν μετανοίας ζητεῖς, ὅτε ἡ ζωή σου πεπλήρωται· τί ἐποίεις πάντα τὸν χρόνον; οὐκ ἐδύνω τὰ σὰ τραύματα θεραπεῦσαι, ἀλλὰ καὶ ἕτερα προσετίθης;‘ ὁ δὲ ὡς ἐπέμενεν αὐτὸν ἱκετεύων, ἀπεκρίνατο [πρὸς αὐτὸν ὁ γέρων]· ‚εἰ μὴ ἕτερα τῇ ζωῇ προσθήσεις κακά, εἰ κατ᾿ ἀλήθειαν μετανοεῖς, δεόμεθα ὑπέρ σου τοῦ θεοῦ· ἀγαθὸς γὰρ ἐστὶ καὶ μακρόθυμος, καὶ χαρίσεταί σοι ἔτι μικρὰν ζωήν, ἵνα τὸ πᾶν ἀποδώσῃς.‘ καὶ εὐξάμενος εἶπεν αὐτῷ· ‚ἰδοὺ τρία ἔτη σοι κεχάρισται ὁ θεὸς ἐν τῇ ζωῇ ταύτῃ. μόνον ἐκ ψυχῆς μετανόησον.‘ 17. καὶ λαβόμενος αὐτοῦ τῆς χειρὸς ἀνέστησε παραχρῆμα καὶ ἀπήγαγεν αὐτὸν εἰς τὴν ἔρημον. καὶ πληρωθέντων ἐτῶν τριῶν πάλιν ἤγαγεν ἐπὶ τὸν τόπον οὐκ ἄνθρωπον, ἀλλ᾿ ἄγγελον τῷ θεῷ παριστῶν, ὡς θαυμάσαι πάντας ἐπὶ τῇ αὐτοῦ πολιτείᾳ. καὶ συνελθόντων πρὸς αὐτὸν τῶν ἀδελφῶν τίθησιν αὐτὸν ἐν μέσῳ ὑγιῆ καὶ δι᾿ ὅλης τῆς νυκτὸς λόγον διδασκαλίας αὐτοῖς παρεδίδου. ὡς δὲ ἀπενύσταξεν ὁ ἀδελφὸς καὶ δὴ εἰς ὕπνον ˌγενόμενος παντελῶς ἐκοιμήθη. ἐπευξάμενος δὲ αὐτῷ ἐκήδευσε κατὰ τρόπον προπέμψας πρὸς τὴν ταφήν.

18. Πολλάκις δὲ αὐτὸν φασὶ καὶ τῶν ποταμίων ὑδάτων ἐπιβάντα τὸν Νεῖλον ἄχρι γονάτων διαπορθμεῦσαι· ἄλλοτε δὲ δι᾿ ἀέρος πρὸς τοὺς ἀδελφοὺς ἐπὶ τοῦ δώματος εὑρῆσθαι τῶν θυρῶν κεκλεισμένων. πολλάκις

---

9 Cf. Mt. 18,34. **19** Cf. Mc. 6,45 ff. etc. **20** Cf. Joh. 20,19 ff.

$P^2P^5P^1C^1MLP^3$ r s a] **1** ἀναφέρων LP^3, ἐπιφερόμενος P^5 | τοὺς λογισμοὺς φέρων C^1M | τῆς ῥαθύμου πολιτείας τοὺς λογισμοὺς P^2 | σου > P^2P^3 | ὁ δὲ > P^2 | ἐδέετο οὖν P^2 | **2** πρεσβεῦσαι P^5 | χρόνωι L | **3** τῆς ζωῆς C^1 | μέλλων Schw., μέλλοντι Cotelier, μέλλοντα $P^2P^1C^1MLP^3$ *ð* | μέλλων ἐπανορθοῦσθαι] ὅπως διορθώσηται P^5 | μέλλοντα] + τι LP^3, τὸ πᾶν P^2 | διορθοῦσθαι P^2LP^3 *ð* | **4** ἐπιζητεῖς M | ὅτε — **5** χρόνον > s | ὅταν P^1C^1M | ἡ ζωή] ὁ καιρός P^2 | πάντα] + σου P^2 | **5** βίον $P^2P^1C^1M$ | σαυτοῦ $P^2P^1C^1M$ | θεραπεύειν P^2 | καὶ > C^1 | **6** αὐτὸν¹] πρὸς αὐτὸν LP^3, > $P^2P^1C^1M$ | πρὸς αὐτὸν] αὐτῶ C^1, > P^5 | ὁ γέρων > $P^2P^1C^1M$ s | **7** εἰ > LP^3 | εἰ — κακὰ > P^5 | εἰ²] ἀλλὰ P^2 s | μετανοήσεις C^1M, μετανοείσοις P^1 | **8** τοῦ θεοῦ] τῶι χριστῶι P^1C^1M | χαρίζεται P^2C^1 | **9** πᾶν] + αὐτῶ P^2 | **10** ἔτη τρία P^2 | κεχάρισταί σοι P^2P^5 | [και]χαρίζεται, και *s. l. über* χ P^3 | ἐν > P^2LP^3 | **11** καὶ] ὁ δὲ L | αὐτὸν P^5 | **12** καὶ] + μεθ᾿ ἑαυτοῦ P^5 | καὶ ἀπήγαγεν] ἀπάγων P^2, ἐπάγων P^1C^1M, καὶ ἀνήγαγεν L | τριῶν ἐτῶν P^2 | **13** ἦγεν αὐτὸν (+ πάλιν P^2) $P^2P^1C^1M$ | τόπον] + αὐτοῦ P^2 | ἄγγελον] + αὐτὸν P^2 | χριστῶι P^1C^1M | **14** πολιτείᾳ] ἐξουσίαι P^1C^1M | **15** ἵστησιν P^5 | ἑαυτὸν P^2, τοῦτον P^5 | μέσῳ] μέρει P^2; + αὐτῶν P^5 | ὅλης] + λοιπὸν P^2 | λόγω L | **16** αὐτοῖς διδασκαλίας $P^2P^1C^1M$ | παρεδίδου LP^3, ἐκάλει P^2 | καὶ] ὡς Schw. | **17** γενάμενος M, τραπεὶς P^5 | δὲ > P^2 | αὐτὸν M | **18** κατὰ τρόπον > s | κατὰ τὸν τύπον καὶ ταφῇ παρέπεμψεν P^5 | τρόπον] λόγον $P^2P^1C^1M$, λόγον καὶ τύπον *i. mg.* Cotelier | **19** ἔλεγον P^5 | τῶν > C^1 | ποταμιαίων LP^3 | τοῦ νείλου ἐπιβῆναι P^5 | ἐπιβάντα — **20** Νεῖλον > P^2 | ἐπιβάντα — **20** γονάτων > s | ἐπιβῆναι Schw., *cf.* P^5 | **20** μέχρι P^2 | γονάτων καὶ P^5 | διαπορθμεύσαντα $P^2P^1C^1M$ Schw. | ἄλλοτε δὲ] ἀλλὰ καὶ P^5 | δὲ > P^2 | δι᾿ — 59,1 δὲ¹ > P^5 | διὰ τοῦ ἀέρος P^2 | **21** τοῦ > $P^2P^1C^1$ | εὑρεθῆναι P^1, εὑρεθη//// L, εὑρίσκεσθαι P^2 | θυρῶν] + αὐτῶν P^2. |

Digitized by Google

δέ, ὅπουπερ ἤθελε, παραχρῆμα ηὑρίσκετο. διηγεῖτο δέ ποτε τοῖς ἀδελφοῖς ἐκ τῆς ἐρήμου ἐπανελθὼν ἀνειλῆφθαι αὐτὸν ἐν ὁράματι εἰς τὸν οὐρανὸν καὶ τεθεᾶσθαι, ὅσα μένει ἀγαθὰ τοὺς κατ' ἀλήθειαν μοναχούς, ἅπερ οὐδεὶς ἐξειπεῖν λόγος δύναται. 19. καὶ ἀπῆχθαι δὲ αὐτὸν ἐν σαρκὶ ἔφη εἰς τὸν παράδεισον καὶ ἑωρακέναι πλῆθος ἁγίων. μετειληφέναι δὲ αὐτὸν ἔλεγεν ἐκ τῶν καρπῶν τοῦ παραδείσου καὶ μάρτυρα τοῦ πράγματος ἐδείκνυεν: σῦκον γὰρ ἓν μέγα καὶ ἐξαίρετον καὶ εὐωδίας πολλῆς μεστὸν πρὸς τοὺς ἑαυτοῦ μαθητὰς ἀπεκόμισεν ἐπιδεικνύων αὐτοῖς, ὅτι ἀληθῆ εἰσὶ τὰ παρ' αὐτοῦ λεγόμενα. ὅπερ σῦκον ὁ διηγούμενος ἡμῖν ταῦτα Κόπρης πρεσβύτερος νεανίας τότε ὑπάρχων ἐν ταῖς χερσὶ τῶν μαθητῶν αὐτοῦ ἐθεάσατο καὶ κατεφίλησε καὶ τὴν πνοὴν ἐθαύμασεν. 20. ,πολλοῖς γὰρ ἔτεσι, φησίν, ἔμεινε παρὰ τοῖς αὐτοῦ μαθηταῖς εἰς ἐπίδειξιν φυλαττόμενον. ἦν γὰρ παμμέγεθες. μόνον γάρ τις εἰ ὀσφρήσατο αὐτοῦ τῶν κακουμένων, εὐθέως τῆς νόσου ἀπηλλάττετο.' 21. κατὰ δὲ τὴν ἀρχὴν τῆς ἐν τῇ ἐρήμῳ αὐτοῦ ἀναχωρήσεως ἐπὶ πέντε ἑβδομάδας αὐτὸν μὴ βεβρωκότα, ἄνθρωπον φασὶν αὐτὸν εὑρηκέναι κατὰ τὴν ἔρημον ἄρτον ἐπιφερόμενον καὶ ὕδωρ, ὅς πείσας αὐτὸν μεταλαβεῖν ἀπηλλάγη. ἄλλοτε δὲ τὸν δαίμονα θησαυροὺς αὐτῷ ὑποδεῖξαι τοῦ Φαραὼ χρυσίου καθαροῦ γέμοντας. πρὸς ὃν φησὶν ὁ ἀνήρ· τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν.

22. ,Ταῦτά τε καὶ ἄλλα πλείονα καὶ μεγάλα, φησί, κατώρθωσεν ὁ

---

2 Cf. 2 Cor. 12,2 ff. **19** Act. 8,20.

$P^2P^5P^1C^1MLP^3$ r s a] **1** δὲ] μὲν P^2 | ὅπουπερ] + ἂν P^5 | παραχρῆμα > L | ηὑρίσκετο] + τῆς χάριτος αὐτῷ συνεργούσης P^5 | **2** ἐπανελθὼν] ὡς C^1 | ἀνειλῆφθαι P^2, ἀνελῆφθαι P^1M, ἀνειληφέναι P^5LP^3 | ὀπτασίᾳ $P^2P^1C^1M$ | τὸν > LP^3 | οὐρανοὺς L, ἐν τοῖς οὐρανοῖς $P^2P^1C^1M$ | **3** τοῖς . . . μοναχοῖς M | **4** λόγος ἐξειπεῖν $P^2P^1C^1M$ | ἀπηνέχθαι P^2 | δὲ > P^2 | ἔφη > P^5 | **5** καὶ — 6 παραδείσου > P^5 | ἑαυτὸν P^2 | ἔλεγεν] καὶ C^1 s | **6** ἐκ τῶν καρπῶν > L | τὸ πρᾶγμα P^2LP^3 | **7** ἓν *m. 2 s. l.* C^1, > P^5LP^3 | καὶ^1 > P^1 | ἐξαίσιον P^1 | πολλῆς μεστὸν] πεπληρωμένον P^2 | τοῖς . . μαθηταῖς P^5 | **8** μαθηταῖς] + ἐκεῖθεν P^5 | ἀληθές C^1M | ἐστὶ C^1 | **9** ταῦτα] ἀββᾶς P^5 | Κόπρης] + ὁ P^2 | **10** αὐτοῦ] ἐκείνου P^5 | **11** πνοὴν] + αὐτοῦ P^1 | ἐθαύμασεν] + ὅς καὶ M | γὰρ] δὲ P^1, > C^1M | **12** φησὶν ἔτεσιν M | διέμεινε P^2P^1M, διέμεινεν C^1 | φυλαττόμενον *vor* παρὰ P^5 | ἑαυτοῦ P^2L | **13** μόνον — κακουμένων] καὶ εἴ τις τῶν ἀσθενούντων μόνον ὀσφρήσατο αὐτοῦ P^5 | τις > C^1 | τις εἰ > LP^3 | τις τῶν κακουμένων ὀσφραινόμενος αὐτοῦ εὐθὺς P^2 | ὀσφρίσατο (τ *a. Ras.*) L | αὐτοῦ] + τις LP^3 | νοσούντων LP^3, νοσούντων καὶ κακουμένων *i. mg.* Cotelier | **14** εὐθὺς M | νόσου] + αὐτοῦ P^1C^1 | **15** ἀναχωρήσεως αὐτοῦ P^5 | ἀναχωρήσεως] + φησὶν C^1 | αὐτὸν — βεβρωκότα] μὴ μεταλαβόντος αὐτοῦ βρώσεως P^5 | βεβρωκέναι MLP^3 | ἄνθρωπος C^1 | ἄνθρωπον] + ὡς P^5 | **16** αὐτὸν φασὶν P^2C^1, αὐτῷ φησὶν (φασὶν M) P^1M | αὐτὸν > P^5 | εὑρηκὼς P^5 | ἄρτους P^1 | ἐπιφερόμενος C^1M | ὕδωρ] + ἐθαύμασε τὸ εἶδος αὐτοῦ P^5 | **17** ὅς] καὶ P^1C^1M, ὁ δὲ P^5; + καὶ P^2 | προστάξας P^5 | αὐτὸν] + τῶν τοιούτων P^2 | μεταλαβεῖν] + εὐθὺς P^2, τῆς τροφῆς εὐθὺς P^5 | ἀνεχώρησεν P^5 | αὐτοῦ ἄλλοτε ἀποκρυβεὶς ἐξ ὀφθαλμῶν συνήντησεν αὐτῷ δαίμων P^5 | **18** ὑποδεικνύων P^5, ἐπιδεῖξαι LP^3 | ὑποδεῖξαι] + λέγεται P^2 | **20** δὲ LP^3 | πλείονα καὶ] πολλὰ P^2 | φασὶ P^2C^1, > P^5. |

Digitized by Google

πατὴρ ἡμῶν Πατερμούθιος ποιῶν σημεῖα καὶ τέρατα. καὶ ἄλλοι τοιοῦτοί τινες πρὸ ἡμῶν γεγόνασιν, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. τί δὲ θαυμαστὸν εἰ ἡμεῖς οἱ μικροὶ τὰ μικρὰ ταῦτα πράττομεν χωλοὺς καὶ τυφλοὺς θεραπεύοντες, ἅπερ καὶ ἐκ τέχνης οἱ ἰατροὶ ἐνεργοῦσιν;'

23. Καὶ ὡς ἦν ἔτι ταῦτα διηγούμενος ἡμῖν Κόπρης ὁ πρεσβύτερος ἀπονυστάξας εἷς ἐξ ἡμῶν ἀδελφὸς ἀπιστίᾳ περὶ τῶν λεγομένων φερόμενος, ὁρᾷ βίβλον θαυμαστὴν ἐν ταῖς χερσὶ τοῦ ἀνδρὸς ἐπικειμένην χρυσοῖς γράμμασι γεγραμμένην καὶ ἐφεστῶτα ἄνδρα τινὰ πολιὸν μετὰ ἀπειλῆς αὐτῷ λέγοντα· ,οὐκ ἀκούσεις προσεχῶς τοῦ ἀναγνώσματος, ἀλλὰ νυστάζεις;' ὁ δὲ ταραχθεὶς εὐθὺς ἡμῖν ἀκροωμένοις αὐτοῦ τὸ ὁραθὲν ῥωμαιστὶ ἐξέφηνεν. 24. ἔτι δὲ τούτου λαλοῦντος πρὸς ἡμᾶς ταῦτα, ἐπῆλθέ τις ἄγροικος κύαθον ἔχων μεστὸν ψάμμου, καὶ παρειστήκει ἐκδεχόμενος πληρῶσαι αὐτὸν τὴν διήγησιν. ἐπυνθανόμεθα δὲ ἡμεῖς αὐτοῦ τοῦ πρεσβυτέρου· ,τί ἄρα θέλει ὁ ἄγροικος μετὰ τῆς ψάμμου;' 25. ἀπεκρίνατο δὲ πρὸς ἡμᾶς ὁ πατὴρ λέγων· ,τεκνία μου, οὐκ ἐχρῆν μὲν καυχᾶσθαι πρὸς ὑμᾶς οὐδὲ ἐξειπεῖν τὰ τῶν πατέρων κατορθώματα, ἵνα μὴ ἐπαρθέντες κατὰ διάνοιαν τὸν μισθὸν ἀπολέσωμεν. διὰ δὲ τὴν ὑμῶν σπουδὴν καὶ ὠφέλειαν, ὅτι ἐκ τοσούτου μήκους πρὸς ἡμᾶς ἐληλύθατε οὐ ζημιώσω ὑμᾶς τῆς ὠφελείας, ἀλλ' ἅπερ δι' ἡμῶν ὁ θεὸς ᾠκονόμησε παρόντων τῶν ἀδελφῶν διηγήσομαι.

---

1 Cf. Act. 7,36 etc. **5** καὶ ὡς κτλ.] Col. 1154D 𝔡.

$P^2P^5P^1C^1M$(A)LP^3(𝔡) r s a] **1** ποιῶν — τέρατα > s | ἄλλοι] + δέ P^1M | τοιοῦτοι *nach* ἡμῶν M, *nach* τινες P^2 | **2** τινες > P^5 | κόσμος] + φησί P^2; *in* LP^3 *folgt die Überschrift*: περὶ ἀββᾶ κόπρη πρεσβυτέρου | καὶ τί (> δὲ) P^2 | δὲ] οὖν P^5 | **3** εἰ *a. Ras.* L | τυφλοὺς] λεπροὺς P^2 | **4** ἐν τέχνῃ P^5 s(?) | καὶ ἰατροὶ ἐκ τέχνης P^2 | ἐνεργοῦσιν] δύνανται P^2, δύνανται ἐνεργῆσαι *i. mg.* Cotelier | **5** ἔτι ταῦτα > P^5 | ἡμῖν P^2M r s a, > *rell.* | ὁ πατὴρ Κόπρις C^1 | Κόπρης > P^5 | ὁ] + τίμιος P^5 | πρεσβύτερος] πατὴρ P^1M | **6** ἀπενύσταξεν P^5 | ἐξ > P^1C^1 | ὑμῶν 𝔡 | ἀπίστως P^1M, ἀπείστως C^1 | φερόμενος] + καὶ P^5 | **7** ὁρᾷ] + καθ' ὕπνον εὐθὺς P^5 | βιβλίον θαυμαστὸν P^1C^1M | ἐν > P^5P^1 s | τοῖς γόνασι s | ἐπικείμενον P^1C^1M | **8** γεγραμμένον P^1C^1M | ἄνδρα φοβερὸν ἐφεστῶτα P^5 | πολιὸν — 9 αὐτῷ] καὶ P^5 | **9** αὐτῷ] + καὶ P^2 | ἀκούεις C^1 𝔡 r s a, ἀκούσῃ M | νουνεχῶς P^5 | τοῦ ἀναγνώσματος] τὰ ἀναγνώσματα P^5, > L | **10** εὐθὺς] + καὶ ἔξυπνος γενόμενος P^5 s | αὐτοῦ > L | τὸ] + ἀκρωόμενον καὶ 𝔡 | φοραθὲν P^1C^1MA, ὀφθὲν LP^3 𝔡 | ῥωμαιστὶ] ῥῆμα $P^1C^1MAs^5a^1$ | διηγίσατο ῥωμαιστὶ P^5 | **11** ἐξήφανεν P^1, ἐξεφώνησεν P^2s^4 a, > P^5 | δὲ > P^2 | αὐτοῦ P^5 | ἦλθεν P^5 | **12** κάλαθον LP^3 𝔡 | μεστὴν LP^3 𝔡, > P^5 | *nach* μεστὴν *Ras. von c. 29 Bst.* L | παρειστήκει] + ἐκεῖσε P^5 | **13** πληρῶσαι *vor* ἐκδεχόμενος P^1C^1M, *nach* διήγησιν P^2 | πληρώσειν P^1C^1 | αὐτὸν] τὸν ἅγιον P^2 | ἡμεῖς δὲ ἐπηρωτήσαμεν P^5 | αὐτοῦ τ. πρεσβυτέρου] τὸν θεσπέσιον P^2, τὸν ἡγιασμένον τοῦτον πρεσβύτερον P^5, αὐτοῦ s | πρεσβυτέρου] πατρὸς P^1C^1M | **14** τί ἄρα] τὸ τί ἂν P^5 | θέλοι P^5P^1 | **15** πρὸς ἡμᾶς] ἡμῖν P^5 | λέγων ὁ πατὴρ C^1M | τέκνα (> μου) MLP^3 𝔡 | μὲν] με P^1; + ἡμᾶς LP^3 𝔡 | καυχήσασθαι P^1C^1M | **16** πατέρων] + ἡμῶν P^2C^1 | **18** μήκους] διαστήματος P^5 | ὑμᾶς P^3 𝔡 | οὐ μὴ P^5 | ζημιῶ P^1C^1M | **19** τὴν (+ ἐκ τῆς διηγήσεως P^2) ὠφέλειαν P^2P^5 | ἅπερ] + καὶ P^1 | δι' ἡμῶν > P^5 | θεὸς] πατὴρ P^5 | ᾠκοδόμησεν M | παρόντων τ. ἀδελφῶν > P^5 | **20** ἀδελφῶν] + ὑμῶν s. |

Digitized by Google

26. Ἄκαρπος ἦν ἡ πλησίον ἡμῶν χώρα καὶ οἱ κεκτημένοι αὐτὴν ἄγροικοι σπείραντες σῖτον μόλις ἐν διπλῷ τὸ σπέρμα ἐθέριζον. σκώληξ γὰρ γεννώμενος ἐν τῷ σταχύι ὅλον τὸν ἀμητὸν διέφθειρεν. οἱ δὲ κατηχηθέντες παρ' ἡμῶν γεωργοὶ καὶ Χριστιανοὶ γεγονότες ἠξίουν ἡμᾶς εὔχεσθαι ὑπὲρ τοῦ θερισμοῦ. εἶπον δὲ πρὸς αὐτούς· ‚εἰ ἔχετε πίστιν πρὸς τὸν θεόν, καὶ ἡ ἐρημικὴ αὕτη ψάμμος καρπὸν ὑμῖν προσοίσει.' 27. οἱ δὲ οὐδὲν ἀναβαλλόμενοι τῆς ψάμμου ταύτης τῆς παρ' ἡμῖν πατουμένης τοὺς ἑαυτῶν κόλπους πληρώσαντες εὐλογεῖν προσέφερον ἀξιοῦντες. ἐγὼ δὲ ὡς ηὐξάμην αὐτοῖς κατὰ τὴν πίστιν αὐτῶν γενέσθαι, ἐκεῖνοι ἔσπειραν αὐτὴν σὺν τῷ σίτῳ ἐν ταῖς ἀρούραις καὶ ἐξαίφνης πολύκαρπος αὐτῶν ἡ χώρα γεγένηται παρὰ πᾶσαν γῆν Αἰγύπτου. τοῦτο οὖν ποιεῖν ἔθος ἔχοντες κατ' ἐνιαυτὸν ἡμῖν ἐνοχλοῦσιν.

28. Ἓν δέ μοι μέγα, φησίν, ὁ θεὸς πολλῶν παρόντων θαῦμα παρέσχεν. κατελθὼν γάρ ποτε ἐν τῇ πόλει εὗρον ἄνδρα τινὰ Μανιχαῖον τοὺς δήμους ἀποπλανήσαντα. ὡς δὲ πείθειν αὐτὸν δημοσίᾳ οὐκ ἠδυνάμην, στραφεὶς πρὸς τὸ πλῆθος εἶπον· ‚πυρὰν μεγάλην εἰς τὴν πλατεῖαν ἀνάψατε καὶ εἰσερχόμεθα ἄμφω ἐν τῇ φλογί, καὶ ὅστις ἡμῶν ἀφλόγιστος διαμείνῃ, οὗτος ἔχει τὴν καλὴν πίστιν'. 29. ὡς δὲ γέγονε τοῦτο καὶ οἱ ὄχλοι ἐν σπουδῇ τὴν πυρὰν ἀνῆψαν, εἷλκον αὐτὸν μετ' ἐμαυτοῦ εἰς τὸ πῦρ. ὁ δὲ φησίν· ‚εἷς ἕκαστος ἡμῶν καταμόνας εἰσελθέτω καὶ πρῶτος εἰσελθεῖν

13 Cf. Vita Eugeniae c. 5 MSL XXI, 1110 C.

$P^{2}P^{5}P^{1}C^{1}MLP^{3}$ δ r s a] **1** ἡ > L | **2** σπείροντες $P^{2}P^{5}P^{1}C^{1}M$ | σπείραντες] + αὐτὴν $P^{2}LP^{3}$ | μόγις $P^{5}P^{1}C^{1}M$ | **3** γινόμενος $P^{1}M$, γενόμενος $P^{2}C^{1}L$ | ἀμητόν] + αὐτῶν s | **4** γεωργοὶ παρ' ἡμῶν LP^{3} δ | καὶ > M | καὶ X. γεγονότες > s | **5** εἰπόντος οὖν αὐτοὺς L, ἐγὼ δὲ πρὸς αὐτοὺς εἶπον P^{5} | δὲ] οὖν δ | πρὸς αὐτούς > P^{2} | εἰ > P^{2} | προσέχετε P^{2} | πρὸς τὸν] εἰς P^{2} | **6** ἐρημική] + ἡμῶν P^{2} | αὕτη] ἡ P^{5} | καρπὸν ὑ. προσοίσει] ὑμῖν καρποφορήσει LP^{3} | ὑμῖν > P^{2} | ποιήσει P^{5} | μηδὲν $P^{5}P^{1}C^{1}M$ | οὐδὲν] οὐδέτι? *war verwischt u. ist v. j. Hd. ungeschickt restauriert* L | **7** ἀναβαλόμενοι M; + *m. 2 s. l.* ἐκ L | τῆς > LP^{3}; *über* π *von* παρ' *v. j. Hd. zugefügt oder nachgefahren ein undeutl. Zeichen, viell.* τῆς L | ἡμῶν $P^{2}M$ | ἑαυτῶν > P^{2} | **8** κόλπους ἑαυτῶν P^{5} | πληρώσαντες] + τοὺς ἑαυτῶν P^{2} | προσέφερον > P^{5} | ἀξιοῦντες] ἠξίουν P^{5} s | **9** αὐτοῖς *vor* γενέσθαι P^{2}, *danach* P^{5} | αὐτῶν] ὑμῶν C^{1} | γεγενῆσθαι $C^{1}M$ | ἐκεῖνοι *vor* αὐτὴν P^{2}, > MLP^{3} δ | **10** χώραις LP^{3} δ | αὐτῶν > $P^{1}C^{1}$ | ἡ χώρα αὐτῶν πολύκαρπος P^{2}, αὐτῶν ἡ χώρα πολύκαρπος P^{1}, ἡ χώρα αὐτῶν πολὺν καρπὸν ἐποίησε P^{5} | γεγένητο P^{1}, > P^{5} | **11** τὴν Αἴγυπτον $P^{2}P^{5}P^{1}C^{1}M$ | ἔχοντες > P^{5} | **13** φησίν, ὁ θεὸς μέγα P^{5} | θαῦμα παρεῖχε (παρέσχε φησὶν P^{5}) πολλῶν παρόντων $P^{2}P^{5}$ | θαῦμα > P^{1} | **14** γὰρ ἐγὼ LP^{3}, γάρ ποτε ἐγὼ $P^{2}P^{5}$, γ. ἐγώ ποτε δ | πόλει] + ποτε LP^{3} | Μανιχαῖον] + μάγον P^{5} | **15** ἀποπλανῶντα $P^{2}P^{5}$, ἀποπλανήσοντα? Schw. | ὤθειν L | ἠδυνόμην $C^{1}M$ | **16** εἰς τ. πλατεῖαν > s | **17** εἰσερχώμεθα P^{3} δ | ἀμφότεροι $P^{2}P^{5}P^{1}$ | εἰς τὴν φλόγα P^{5} | εἴ τις LP^{3} δ r a | διαμείνει $P^{1}C^{1}$, διαμείνει, *durch übergeschr.* η *corr. von m. 1* M | **18** καλὴν] + καὶ ὀρθόδοξον P^{5} | ἐγένετο C^{1} | ἐν *a. Ras.* L | **19** τὴν πυρὰν μετὰ σπουδῆς $P^{1}C^{1}$, τὴν πυρὰν ἐν σπουδῇ $P^{2}M$ | ἀνῆψαν] + καὶ P^{2} | αὐτὸν] τοῦτον ἐγὼ M; + ἐγὼ P^{5} | ἐμοῦ P^{2}, ἑαυτοῦ P^{5} | **20** φησὶν ἐκεῖνος P^{2} | εἷς > P^{5} δ | ἡμῶν > $P^{2}P^{5}$ | καὶ > P^{5} | πρῶτος] + φησὶν $P^{1}C^{1}M$, οὖν P^{5}. |

ὀφείλεις αὐτὸς ὁ προστάξας.‘ ὡς δὲ ἐν ὀνόματι τοῦ Χριστοῦ κατασφραγισάμενος εἰσελήλυθα, ἡ φλὸξ ὧδε κἀκεῖ διαμερισθεῖσα οὐ παρηνόχλησέ μοι ἡμιώριον ἐν αὐτῇ διατρίψαντι. 30. ἰδόντες δὲ οἱ ὄχλοι τὸ θαῦμα ἀνεβόησαν καὶ ἠνάγκαζον πάλιν ἐκεῖνον εἰς τὴν πυρὰν εἰσελθεῖν. ὁ δὲ ὡς οὐκ ἤθελε δεδιώς, λαβόντες αὐτὸν οἱ δῆμοι εἰς μέσον ὤθησαν καὶ περιφλογισθεὶς ὅλος ἀτίμως τῆς πόλεως ἐξερρίφη τῶν δήμων κραζόντων· ‚τὸν πλάνον ζῶντα καύσατε.‘ ἐμὲ δὲ ἀναλαβόντες οἱ ὄχλοι καὶ εὐφημοῦντες εἰς τὴν ἐκκλησίαν προέπεμψαν.

31. Ἄλλοτε δέ μου παριόντος διὰ ναοῦ τινός τινες τῶν ἐθνῶν τοῖς εἰδώλοις αὐτῶν ἐθυσίαζον. εἶπον δὲ αὐτοῖς· ‚ἵνα τί λογικοὶ ὄντες ἀλόγοις θύετε; καὶ ὑμεῖς αὐτῶν ἐστὲ λοιπὸν ἀλογώτεροι.‘ οἱ δὲ ὡς καλῶς εἰπόντος εὐθέως μοι ἠκολούθησαν τῷ σωτῆρι πιστεύσαντες.

32. Κήπου δέ μοί ποτε ἐν τῇ πλησίον χώρᾳ ὑπάρχοντος διὰ τὴν ἐρχομένην πρὸς ἡμᾶς ἀδελφότητα καὶ ἑνός τινος αὐτὸν πένητος ἐργαζομένου εἰσῆλθέ τις τῶν Ἑλλήνων ἀποσυλῆσαι τὰ λάχανα. ὡς δὲ συλήσας ἀπῆλθεν, ἕως τρίτης ὥρας ἑψεῖν αὐτὰ οὐκ ἠδύνατο, ἀλλ’ ἔμειναν ἐν τῷ λέβητι, οἷάπερ καὶ εἴληπτο, μὴ θερμαινομένου ὅλως τοῦ ὕδατος. 33. ἐν ἑαυτῷ δὲ γενόμενος ὁ ἀνὴρ ἀναλαβὼν τὰ λάχανα πρὸς ἡμᾶς διεκόμισε παρακαλῶν συγχωρηθῆναι αὐτῷ τὸ πλημμέλημα καὶ γενέσθαι Χριστιανός· ὅπερ καὶ γέγονεν. ἦσαν δὲ κατ’ αὐτὴν τὴν ὥραν ξένοι πρὸς ἡμᾶς ἐλθόντες ἀδελφοί, δι’ οὓς μάλιστα ἐπιτηδείως ἡμῖν τὰ λάχανα προσηνέχθη. μεταλαβόντες οὖν ἐξ αὐτῶν ηὐχαριστήσαμεν τῷ θεῷ διπλῆν εὐφροσύνην ποιησάμενοι τήν τε τοῦ ἀνδρὸς σωτηρίαν καὶ τὴν τῶν ἀδελφῶν ἀνάπαυσιν.

$P^2P^5P^1C^1MLP^3$ δ r s a] **1** ὀφείλεις εἰσελθεῖν LP^3 δ, ὀφείλεις αὐτὸς εἰσελθεῖν P^5 | αὐτὸς > P^2 | ὁ] ὡς P^1C^1M; + τοῦτο P^5 | προσέταξας P^1C^1 | προστάξας] + γενέσθαι P^5 | τοῦ > P^5L | κατασφραγισάμενος] + ἐμαυτὸν P^2 r s | **2** κἀκεῖσε P^2P^5 | **3** με P^5 | διατρίψαντα P^5P^1M | δὲ > M | **4** πάλιν > P^5 s | ἐκεῖνον πάλιν C^1 | κἀκεῖνον P^5LP^3 δ | πάλιν ἐκεῖνον] καὶ τὸν πλάνον P^2 | **5** ὡς > P^2P^5 | λαβόντες] + οὖν P^2L, δὲ P^5 | μέσον] + τοῦ πυρὸς P^5 | **6** περιφλεχθεὶς C^1 | ὅλως P^1 δ | ἀτίμως — 7 καύσατε > s | ἀτίμως > P^2P^5 | κραζόντων τῶν δήμων P^5 | **7** ζῶντα] πυρὶ M | κατακαύσατε P^5C^1M | οἱ ὄχλοι ἀναλαβόντες P^5 | ὁ ὄχλος δ | καὶ > P^5 | **8** προέπεμπον P^2 | **9** δὲ > P^2 | ἐμοῦ P^2P^5 | ἐθνικοί τινες P^5 | ἐθνικῶν P^2 | **10** αὐτὸν M | αὐτοῖς] + ἐγὼ P^5 | ἵνα τί P^5 s a, διὰ τί P^2 r, ἔτι C^1M, εἰ τί P^1, εἰ LP^3 δ | ὄντες] + ὑμεῖς τοῖς P^2, τοῖς P^5 | ἀλόγοις] + τι LP^3 δ | **11** καὶ > P^2 | αὐτῶν *vor* ἀλογώτεροι P^2, *danach* P^5 | λοιπὸν ἐστὲ P^1 | εἰπόντι $P^2P^5LP^3$ δ | **12** μου P^2L | σωτῆρι] χριστῷ P^2P^5 s | πιστεύσαντες *von m. 2, s. T. am Rand, nachgetragen* C^1 | **13** ποτε *nach* χώρᾳ P^2 | **14** πρὸς ἡμᾶς > P^5 | ἑνός > P^2P^5 | πένητός τ. αὐτὸν P^2, πένητος αὐτόν τινος P^5, τινος α. πένητος LP^3 δ | **15** ἀποσυλήσας C^1M, συλῆσαι LP^3 δ | **16** ἀπῆλθεν] + βαλὼν αὐτὰ ἐν χύτρα ἑψῆσαι P^5 | ἐπὶ ὥρας τρεῖς P^2 | ἕως] + τῆς δ | ἡμέρας LP^3 δ | ἐπὶ ὥρας τρεῖς οὐκ ἕψησεν *a. Rand m. 2* P^5 | ἑψῆσαι P^2 | ταῦτα P^2 | ἠδυνήθη P^2 | ἔμενον P^5 | ἐν τῇ χύτρα P^5 | **17** περ > P^2P^5 | ἐλήφθησαν L δ, ἐλήμφθησαν P^2, ἐβλήθησαν P^5 | μήτε C^1 | μηδ’ ὅλως θερμαινομένου P^5 | ὅλως] κἂν ὁπωσοῦν M | **18** λαβὼν P^5 | ἐκόμισεν P^5 | **19** χριστιανὸν $P^2P^5P^1C^1M$ | **20** δὲ] γὰρ LP^3 δ | κατὰ ταύτην M | ἡμέραν r s | **21** προσηνέχθησαν P^5 | **22** κυρίω P^5 s | **23** ποιησάμενος C^1 | ἀνδρὸς P^2 s, ἀνθρώπου *rell.* |

Digitized by Google

XII. Περὶ ἀββᾶ Σούρου καὶ Ἡσαίου καὶ Παύλου καὶ Ἀνούφ.

1. Ἀββᾶς Σοῦρος δέ ποτε καὶ Ἡσαίας καὶ Παῦλος συνέτυχον ἀλλήλοις ἐξαπίνης ἅμα ἐπὶ τῷ ποταμῷ εὑρεθέντες, ἄνδρες εὐλαβεῖς καὶ ἀσκηταί, ὡς τὸν μέγαν ὁμολογητὴν ἀββᾶν Ἀνοὺφ ἐπισκεψόμενοι — ἀπεῖχεν δὲ ἀπ' αὐτῶν τρεῖς μονὰς τὸ διάστημα — καὶ φασὶ πρὸς ἀλλήλους· ‚ἐπιδειξάτω ἕκαστος ἡμῶν τὴν ἑαυτοῦ πολιτείαν καὶ ὅπως παρὰ θεοῦ ἐν τῷ βίῳ τούτῳ τετίμηται.' 2. ἀββᾶς Σοῦρος δὲ πρὸς αὐτοὺς ἔφη· ‚αἰτοῦμαι παρὰ θεοῦ δῶρον, ἀκαμάτους ἡμᾶς φθάνειν ἐπὶ τοῦ τόπου ἐν δυνάμει τοῦ πνεύματος.' καὶ μόνον εὐξαμένου αὐτοῦ πλοῖον ἕτοιμον εὑρέθη παραχρῆμα καὶ ἄνεμος ἐπιτήδειος. καὶ ἐν ῥοπῇ εὑρέθησαν ἐπὶ τοῦ τόπου ἀνελθόντες κατὰ τοῦ ῥεύματος.

3. Ἡσαίας δὲ φησὶ πρὸς αὐτούς· ‚καὶ τί θαυμαστόν, ὦ φίλοι, ἐὰν συναντήσῃ ἡμῖν ὁ ἀνὴρ ἑκάστου τὰς πολιτείας διαγορεύων;'

4. Παῦλος δὲ φησὶ πρὸς αὐτούς· ‚εἰ ἀπεκάλυψεν ἡμῖν ὁ θεός, ὅτι μετὰ τρεῖς ἡμέρας ἀναλαμβάνει τὸν ἄνθρωπον;' ὡς δὲ προῆλθον μικρὸν τοῦ τόπου, ὁ ἀνὴρ αὐτοῖς ἀπαντήσας ἀσπάζεται αὐτούς. καὶ φησὶ πρὸς αὐτὸν Παῦλος· ‚φράσον ἡμῖν τὰ σαυτοῦ κατορθώματα· μεταύριον γὰρ πρὸς θεὸν ἀπελεύσῃ.'

5. Εἶπεν δὲ ὁ ἀββᾶς Ἀνοὺφ πρὸς αὐτοὺς· ‚εὐλογητὸς ὁ θεὸς ὁ κἀμοὶ

---

1 C. 10 r, c. 55—58 ϑ. **5** Cf. Sozom., h. e. III 14,20: κατὰ τούτους (d. h. Antonius, Macarii duo, etc.) εἰκάζω γενέσθαι καὶ Ἀνοὺφ τὸν θεσπέσιον· ὃν ἐπυθόμην, ἀφ' οὗ πρῶτον ἐν τοῖς διωγμοῖς ὑπὲρ τοῦ δόγματος ὡμολόγησε, μήτε ψεῦδος εἰπεῖν, μήτε ἐπιθυμῆσαί τινος τῶν ἐπὶ τῆς γῆς· ἐπιτυχεῖν δὲ πάντων, ὧν παρὰ τοῦ θεοῦ ἐδεήθη καὶ ὑπὸ θείου ἀγγέλου διδασκάλου πᾶσαν ἀρετὴν παιδευθῆναι.

$P^2P^5P^1C^1LP^3$ ϑ r s a] **1** περὶ ἀββᾶ σούρου (σούρρου L, σούρους P^3) καὶ ἀββᾶ ἡσαίου καὶ ἀββᾶ παύλου P^5LP^3 ϑ, περὶ σ. καὶ ἠ. καὶ π. P^2, περὶ ἀββᾶ σούρους C^1 | Σούρου] 'Or (*so stets*) s | καὶ[3]] + τοῦ ἀββᾶ P^5r | καὶ Ἀνούφ > $P^2P^1C^1LP^3$ ϑ | **2** ὁ ἀββᾶς P^1 | ἀββᾶς Σοῦρος] *die Heiligen* a, *doch ist der Text vielleicht verdorben und surbχ (die Heiligen) aus Surus entstellt* | ἀββὰ P^3 | σοῦρ[ος οὐ]δέποτε *a. Ras. m. 2* P^1 | σούρους C^1P^3, σούρρος L, Σούρους ϑ, Syrus r | δὲ ποτε > P^2 | ποτε] + φησὶν C^1 r, φασι P^1 | καὶ[1.2]] + ἀββᾶς LP^3 ϑ | ἀλλήλοις] + καὶ (ς u. καὶ *a. Ras. m. 2*) P^1, C^1 | **3** ἐξαπίνης — εὑρεθέντες > LP^3 ϑ | ἅμα > P^5 | τοῦ ποταμοῦ P^2P^5 | εὑρεθέντες] + ἀμφότεροι P^5 | **4** ὡς > C^1LP^3 ϑ | ὁμολογητὴν > P^5 | ἀββᾶ C^1P^3, > P^2 a | ἀνοὺβ P^5P^1 ϑ, > a | ἐπισκεψάμενοι C^1LP^3 ϑ | ἀπεῖχον P^5 | **5** ἀπ' > C^1LP^3 | αὐτοῦ P^5 | τριῶν μονῶν P^2 | φησὶ P^1 | ἐπιδειξάσθω P^5 | **6** παρὰ] + τοῦ P^5 | θεῶι P^1 | **7** τούτῳ] + τῷ ἀσκητικῷ P^5 | τετίμηται] + ὁ δὲ P^1 | ἔφη δὲ πρὸς αὐτοὺς ὁ ἀββᾶς σοῦρος P^2P^5 s | ἀββᾶ C^1 | Paulus a | δὲ > P^1 | **8** παρὰ] + τοῦ P^2P^5 | ἀκαμάτως P^2, ἀκαμάτοις L | φθάσαι LP^3 ϑ | τοὺς τόπους P^1C^1 | ἐν > P^5 | **9** πνεύματος] + ἁγίου s | εὕρητο P^1, εὕρηται C^1, > P^5 | **10** ἐν] + μιᾷ P^5 | ῥιπῇ P^5LP^3 | **11** κατὰ] ἐπὶ L | **12** πρὸς αὐτοὺς φησὶ P^2P^5 | **13** τὰς τὰς C^1 | **14** πρὸς αὐτοὺς εἶπεν P^5 | εἰ > P^5 | ἀπεκάλυψεν] + καὶ P^2LP^3 ϑ | ὑμῖν LP^3 | **15** ἡμέρας τρεῖς C^1 | ἀναλαμβάνειν P^5 | προῆλθεν P^2LP^3 ϑ | **16** μικρὸν] ἔμπροσθεν LP^3 ϑ, ἔμπροσθεν μικρὸν P^2; + ἔμπροσθεν P^5; > C^1 | αὐτοῖς > P^5 | ἠσπάζετο LP^3 ϑ | αὐτοὺς P^5 s, > *rell.* | ὁ δὲ παῦλος φησὶ πρὸς αὐτὸν $P^2P^1C^1LP^3$ ϑ | **17** πρὸς > L | αὐτὸν] + ὁ ἀββᾶς *alle, ausser* s | σεαυτοῦ LP^3 ϑ | μετὰ τὴν αὔριον γὰρ P^5, μετὰ γὰρ τρεῖς ἡμέρας P^2 | **18** πρὸς] + τὸν P^2P^5 | **19** ὁ ἀββᾶς > P^2L | ὁ > C^1P^3 | ἀββᾶ C^1P^3, > P^5 | ἀνοὺβ P^1. |

Digitized by Google

ταῦτα γνωρίσας καὶ τὴν ὑμῶν παρουσίαν καὶ πολιτείαν.' εἰπὼν δὲ ἑκάστου τὰ κατορθώματα καὶ τὰ ἑαυτοῦ λοιπὸν ἐξηγεῖτο λέγων· ,ἐξ οὗ τὸ τοῦ σωτῆρος ὄνομα ἐπὶ τῆς γῆς ὡμολόγησα, οὐ προῆλθεν ψεῦδος ἐκ τοῦ στόματός μου, γήινον οὐδὲν διητήθην τοῦ ἀγγέλου με τρέφοντος τὴν οὐράνιον τροφὴν καθ' ἡμέραν· οὐδενὸς ἑτέρου ἐπιθυμία ἀνῆλθεν εἰς τὴν καρδίαν μου, πλὴν τοῦ θεοῦ· 6. οὐδὲν ἀπέκρυψέν μοι ὁ θεὸς τῶν ἐπιγείων, ὃ οὐκ ἐγνώρισέν μοι· οὐκ ἔληξεν φῶς τοῖς ὀφθαλμοῖς μου· οὐκ ἐν ἡμέρᾳ ὕπνωσα, οὐκ ἐν νυκτὶ ἀνεπαυσάμην τὸν θεὸν ἐκζητῶν ἀλλ' ἄγγελός μοι ἀεὶ συμπαρῆν τὰς τοῦ κόσμου δυνάμεις ἐπιδεικνύων· τὸ φῶς τῆς διανοίας μου οὐκ ἐσβέσθη· πᾶν αἴτημα παρὰ θεοῦ [μου] εὐθὺς ἐλάμβανον. 7. εἶδον πολλάκις μυριάδας ἀγγέλων τῷ θεῷ παρεστώσας· εἶδον χοροὺς δικαίων· εἶδον μαρτύρων ἀθροίσματα· εἶδον μοναχῶν πολιτεύματα, [εἶδον] πάντων δι' ἔργων τὸν θεὸν εὐφημούντων· εἶδον τὸν σατανᾶ πυρὶ παραδιδόμενον· εἶδον τοὺς ἀγγέλους αὐτοῦ κολαζομένους· εἶδον τοὺς δικαίους αἰωνίως εὐφραινομένους.'

8. Ταῦτα δὲ καὶ ἄλλα πολλὰ διηγούμενος ἐπὶ τρεῖς ἡμέρας παραδίδωσι τὴν ψυχήν. τὴν δὲ εὐθὺς ἄγγελοι ὑποδεξάμενοι καὶ χοροὶ μαρτύρων εἰς οὐρανοὺς ἀνήγαγον αὐτῶν ὁρώντων καὶ ἀκουόντων τοὺς ὕμνους.

XIII. Περὶ Ἑλλῆ.

1. Ἄλλος δέ τις πατήρ, ἀββᾶ Ἑλλῆ καλούμενος, ἐκ παιδόθεν

---

19 C. 11 r, c. 59 δ. Cf. Sozom., h. e. VI 28,5: Ἑλλῆν δὲ παιδευόμενον ἐκ νέου τὴν μοναχικὴν ἀγωγὴν πλεῖστα παραδοξοποιεῖν, ὡς καὶ πῦρ ἐν τῷ κόλπῳ κομίζειν καὶ

$P^2P^5P^1C^1LP^3$ δ r s a] **1** πολιτείαν καὶ παρουσίαν P^2P^5 | **2** τὸ κατόρθωμα P^5 | λοιπὸν > P^5 | διηγεῖτο P^1C^1 | ἐξ ὅτου P^2, ἐξ ὅτε LP^3 | τὸ > P^3 | **3** ἐπὶ τῆς γῆς $P^2P^1C^1LP^3$ δ s^5 s^6 a, in persecutione r, ἐν τοῖς διωγμοῖς Sozomenus, > P^5 s^4 | **4** διετήθην P^1, *aus* διετέθην *corr.* C^1 | τρέφοντος με P^5 | με] + ἡμέριον LP^3 δ | καθ' ἑκάστην τρέφοντος *nach* **5** τροφὴν P^2 | **5** καθ' ἡμέραν > P^2LP^3 | οὐδενὸς ἑτέρου] οὐδὲ ἑτέρου τινὸς LP^3 δ | ἐπιθυμία ἑτέρου P^5 | ἐπιθυμία////// (ν *ausr.?*) L | ἐπὶ P^2C^1 | **6** πλὴν] + ἢ LP^3 δ | οὐδὲ LP^3 δ | μοι > LP^3 δ | τῶν γηίνων ὁ θεὸς P^5 | θεὸς] + τι LP^3 δ | γηίνων $P^5P^1C^1$ | **7** ὃ — μοι > s | μοι > $P^5P^1C^1$ | ἔδειξεν P^5, ἐξέλειπεν C^1, ἐξῆλθε P^1 | φῶς > P^5 | οὐχ ὕπνωσα ἐν ἡμέρα P^5 | **8** ἐπαυσάμην P^2C^1 | ἐκζητῶν τὸν θεὸν P^2 | ἀλλὰ P^2LP^3 δ, > P^5 | **9** ἄγγελος] + *Gottes* s | ἀεὶ > P^1C^1 | παρῆν ἀεὶ δ | συμπαρ[ῆ]ν *a. Ras.* L | τὰς τ. κόσμου > P^5 | δυνάμεις μεγάλας P^5 | ὑποδεικνύων P^2, μοι δεικνύων: μοι δεικ *v. j. Hd. auf einen ein Loch verklebenden Zettel aufgeschrieben* P^5 | **10** ἐσβέσθη ποτὲ P^5 | αἴτημα] ἕτοιμα P^2 | παρὰ] + τοῦ C^1 | μου > P^2P^5 | **11** παρεστώτων LP^3, παρεστῶτας P^5 | **12** ἄθροισμα $P^5P^1C^1$ | εἶδον² — πολιτεύματα > δ | πολίτευμα $P^2P^1C^1$ | **13** εἶδον¹] + καὶ C^1; > P^2P^5 | πάντων δὲ P^2P^5 | τὸ ἔργον τῶν (τὸν P^2, > P^5) $P^2P^5LP^3$ δ, τῶν δι' ἔργων (> τὸν) C^1, > s | ἔργων] + ἐστὶ P^5 | τὸ εὐφημεῖν τὸν θεὸν P^5, τὸν θεὸν εὐφημεῖν P^2 | [ἀνυμνούντ]ων *a. Ras.* L | εἶδον δὲ P^5 | σατανᾶν P^5P^3, σατανὰν P^2 | **15** αἰώνιος P^1 | **16** τε P^2C^1, > P^5 | πολλάκις δ | ἡγούμενος δ | ἐπὶ τρεῖς ἡμέρας διηγούμενος P^2 | **17** ψυχήν] + τῷ κυρίῳ (*nur noch z. T. erkennbar*) P^5 | ταύτην P^2, ἣν P^5 | δὲ > P^5 | μαρτύρων χοροὶ P^2 | μαρτύρων] + καὶ ὁσίων P^5 | **18** οὐρανὸν C^1 | ἀνήγων P^1, ἀνῆγον $P^2C^1P^3$ δ | τῶν ὕμνων P^2. |

19 $P^2P^5P^1C^1LP^3$ δ r s a] περὶ] + ἀββᾶ $P^5P^1C^1LP^3$ δ, τοῦ ἀββᾶ P^2 | Ἕλλην P^3, Helenus r | **20** ἑλλη P^1, ἕλλη C^1, Apelles s, Apelês a | παιδιόθεν LP^3 δ. |

Digitized by Google

τῇ ἀσκήσει προσκαρτερήσας τοῖς πλησίον αὐτοῦ ἀδελφοῖς πολλάκις πῦρ ἐν κόλπῳ ἐβάσταζεν ἐρεθίζων αὐτοὺς προβαίνειν εἰς ἐπίδειξιν τῶν σημείων, λέγων αὐτοῖς· ‚εἰ κατὰ ἀλήθειαν ἀσκεῖτε, τὰ σημεῖα λοιπὸν τῆς ἀρετῆς ἐπιδείξασθε‘. 2. ἄλλοτε δὲ αὐτῷ καθ' ἑαυτὸν γενομένῳ ἐν τῇ ἐρήμῳ ἐπιθυμία μέλιτος γέγονεν. εὐθὺς δὲ ὑπὸ πέτραν κηρία εὑράμενος, φησίν· ‚ἄπελθε ἀπ' ἐμοῦ ἡ ἀκόλαστος ἐπιθυμία. γέγραπται γάρ· πνεύματι περιπατεῖτε καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε‘. καὶ καταλιπὼν αὐτὰ ἀπηλλάγη. ἤδη δὲ αὐτοῦ τρεῖς ἑβδομάδας ἐν τῇ ἐρήμῳ νηστεύσαντος ὀπώρας εὑρὼν ἐρριμμένας, εἶπεν· ‚οὐ μὴ φάγω, οὐδ' οὐ μὴ ἅψωμαί τινος ἐξ αὐτῶν, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω, τοῦτ' ἔστιν τὴν ψυχήν μου. γέγραπται γάρ· οὐκ ἐπὶ τροφῇ μόνῃ ζήσεται ἄνθρωπος‘. 3. νηστεύσας δὲ καὶ ἄλλην ἑβδομάδα ὕστερον ἀπενύσταξεν· καὶ ἐλθὼν ἄγγελος κατ' ὄναρ φησὶ πρὸς αὐτόν· ‚ἀναστὰς τὰ εὑρισκόμενα ἆρον καὶ φάγε.‘ ὁ δὲ ἐξανέστη κύκλῳ περιβλεπόμενος καὶ ὁρᾷ πηγὴν βοτάνας τρυφερὰς κύκλῳ βλαστήσασαν. μετειληφὼς δὲ τοῦ ποτοῦ καὶ τῆς τροφῆς τῶν λαχάνων διεβεβαιοῦτο μηδὲν ἥδύτερον αὐτῶν πώποτε γεύσασθαι. 4. σπήλαιον δὲ εὑρὼν μικρὸν ἐν τῷ τόπῳ ἔμεινεν ἐκεῖ ὀλίγας ἡμέρας ἄσιτος. ὡς δὲ λοιπὸν τῆς τροφῆς ἐδέετο κλίνας τὰ γόνατα ηὔχετο. εὐθὺς δὲ αὐτῷ πάντα τὰ τῶν βρωσίμων παρέκειντο καὶ ἄρτοι θερμοὶ καὶ ἐλαῖαι καὶ ὀπώρα τις διάφορος. 5. ἐπεσκέψατο δέ ποτε τοὺς ἑαυτοῦ ἀδελφούς, οὓς

μὴ καίειν τὴν ἐσθῆτα, καὶ τούτῳ παροτρύνειν τοὺς συμμονάζοντας, ὡς τῇ ἀγαθῇ πολιτείᾳ καὶ τῆς ἐπιδείξεως τῶν παραδόξων ἑπομένης. **6** Gal. 5,16. **10** Cf. Mc. 9,42. Lc. 17,2. **11** Cf. Mt. 4,4. Lc. 4,4 (Dt. 8,3). **13** Cf. Act. 10,13.

$P^2P^5P^1C^1LP^3$ đ r s a] **1** τὴν ἀρετὴν ἐξασκήσας đ | προσκαρτερήσας] + μεγάλων χαρισμάτων παρὰ τῷ θεῷ ἠξιώθη, ὥστε P^5 | τοῖς — αὐτοῦ] καὶ P^5 | ἀδελφοῖς αὐτοῦ P^1C^1 | ἐν] + τῷ P^5 | **2** βαστάζειν καὶ μὴ κατακαίεσθαι P^5 | **3** λέγων — **4** ἐπιδείξασθε > P^5 | αὐτοὺς L | ἀσκῆιτε////// L | ἀσκήσεως P^2 | **4** ἐπιδείξατε C^1 | γ<ενομ>ένω δέ ποτε καθ' ἑαυ<τόν> P^5 | γενομένων L | ἐρήμῳ] + ἐν $P^5C^1LP^3$ đ | **5** γέγονεν] + αὐτῷ P^1, καὶ P^5; > đ | κηρία <. . . . .> (*5—6 Bst. durch ein Loch zerstört*) εὑράμενος P^5 | εἶπεν P^2P^5 | **6** ἄπελθε, φησίν P^1C^1 | **8** ἀπῆλθεν P^2P^5 | ἤδη δέ] ἄλλοτε P^5 | αὐτοῦ *nach* νηστεύσαντος P^5 | ἐν τῇ ἐρήμω *nach* νηστεύσαντος αὐτοῦ P^5, *nach* αὐτοῦ đ | ἐν τ. ἐρήμῳ > L | νηστεύοντος LP^3 đ | **9** εὗρεν P^1C^1 | εἶπεν] + οὖν P^1C^1 | οὐ^2 > C^1 | οὐ μή^2 > P^5 | ἅψομαι P^5 | τι LP^3 | τινος ἐξ > P^5 s | **10** μου P^2P^5 s, > *rell.* | **11** ἐπ' ἄρτω μόνω TP^1C^1 s | μόνον P^5P^3 | **12** ἐλθών] εὑρὼν ὁ đ | **13** εἶπε κατ' ὄναρ P^2 | ἆρον καὶ *m. 1. i. mg.* P^3 | **14** κύκλῳ περιβλεπόμενος P^2LP^3 đ s a, > $P^5P^1C^1$ | καί] + περιβλεψάμενος P^5 | **15** κύκλῳ *nach* 14 πηγὴν P^2P^5 | βλαστήσασαν *vor* 14 τρυφερὰς P^2P^5 | μετειληχὼς P^2 | ποτοῦ] *m. 1 schrieb* ποταμοῦ, αμ *ausr., d. g. Wort ausgestr. u. a. Rand v. j. H.* ποτοῦ *zugefügt* P^2 | τῆς τροφῆς > s | τρυφῆς P^2C^1 | **16** γεύσασθαι πώπο<τε> P^5 | γεύσασθαι] γενέσθαι $P^1C^1P^3$, γεγενῆσθαι P^2 | **17** μικρὸν εὑ<ρὼν> P^5 | μικρὸν > P^1 | ἄσιτος] + ὢν P^1C^1, P^5 *ist hier beschädigt, doch reicht kaum der Platz für* ὢν | **18** ηὔχετο] + τὰ δὲ P^1C^1 | εὐθέως L | δὲ > P^1C^1 | **19** τὰ > P^1C^1 | βρωμάτων P^2 | παρέκειτο $P^2P^1C^1$ | ἄρτοι τε P^2 | ἐλαῖαι] μέλι P^1C^1 | **20** ὀπῶραι P^2P^5 s, *corr. m. 2 aus* ὀπώρα L | τις > P^2P^5 s | διάφοροι P^2P^5 s, διαφόρας, ας *corr. m. 2 aus* (ο?)ς L | οὗτος ὁ μακαρίτης ἐπεσκέψατό ποτε P^5 | ἑαυτοῦ > P^5 | οὓς > P^5. |

Digitized by Google

καὶ πολλὰ νουθετήσας ἐπὶ τὴν ἔρημον ἔσπευδεν ἐπικομιζόμενός τινα τῶν εἰς τὰς χρείας ἐπιτηδείων. ἰδὼν δὲ ὀνάγρους τινὰς βοσκομένας φησὶ πρὸς αὐτάς· ‚ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ἡκέτω μία ἐξ ὑμῶν ὑποδεξαμένη μου τὸ βάρος‘. ἡ δὲ εὐθὺς ἐπ' αὐτὸν ὥρμησεν. ἐπιθεὶς δὲ αὐτῇ τὰ σκεύη καὶ ἐπικαθίσας ἐν μιᾷ ἡμέρᾳ ἐπὶ τὸ σπήλαιον ἔφθασεν. διαθέντος δὲ αὐτοῦ τοὺς ἄρτους καὶ τὰς ὀπώρας ἐν τῷ ἡλίῳ ἦλθον ἐπ' αὐτά, ὡς ἔθος εἶχον, τὰ θηρία πρὸς τὴν πηγήν· καὶ ἀψάμενα μόνον τῶν ἄρτων ἀπέψυξαν.

6. Παραβαλὼν δὲ πρός τινας μοναχούς ποτε κυριακῆς οὔσης ἔλεγε πρὸς αὐτούς· ‚τί δὴ σήμερον τὴν σύναξιν οὐκ ἐπετελέσατε‘; τῶν δὲ φασκόντων, διὰ τὸ μὴ ἐληλυθέναι πέραθεν τὸν πρεσβύτερον, ἔλεγε πρὸς αὐτούς· ‚ἀπελθὼν καλέσω αὐτόν‘. οἱ δὲ ἔφασκον, μὴ δύνασθαί τινα διαβαίνειν τὸν πόρον διὰ τὸ βάθος, ἀλλὰ γὰρ καὶ θηρίον μέγιστον εἶναι ἐν τῷ τόπῳ κροκόδειλόν τινα πολλοὺς ἀνθρώπους καταναλώσαντα. 7. ὁ δὲ μὴ μελλήσας [εὐθὺς] ἀναστὰς ὥρμησεν ἐπὶ τὸν πόρον. καὶ εὐθὺς αὐτὸν τὸ θηρίον ἐπὶ τοῦ νώτου ὑποδεξάμενον εἰς τὸ πέραν ἀπεκατέστησεν. εὑρὼν δὲ τὸν πρεσβύτερον ἐν τῷ χωρίῳ παρεκάλει, μὴ ὑπεριδεῖν τὴν ἀδελφότητα. ἰδὼν δὲ αὐτὸν ἐκεῖνος ῥάκος ἐνδεδυμένον πολύρραφον ἐπύθετο παρ' αὐτοῦ, πόθεν ἄρα τὸ ῥάκος ἐκέκτητο ἐπειπών· ‚κάλλιστον ἔχεις ἱμάτιον τῆς ψυχῆς, ἀδελφέ‘. 8. τὴν δὲ ταπεινοφροσύνην αὐτοῦ θαυμάσας καὶ τὴν εὐτέλειαν εἵπετο αὐτῷ ἀπιόντι ἐπὶ τὸν ποταμόν. ὡς δὲ πορθμεῖον οὐχ εὗρον, φωνὴν ἀφίησιν ὁ ἀββᾶς Ἑλλῆ προσκαλούμενος τὸν κροκόδειλον. ὁ δὲ εὐθὺς ὑπακούσας αὐτῷ παρῆν τὸν νῶτον ὑποστρωσάμενος. ἠξίου

$P^2P^5P^1C^1LP^3$ ð r s a] **1** καὶ > P^1 | πολλὰ > P^5 | ἔρημον *a. Ras.* L; + αὖθις P^5, αὐτοῦ s | κομιζόμενος L | καί τινα P^2 | **2** ἐν ταῖς χρείαις P^2 | βοσκο<μέν>ους P^5 | **3** αὐτοὺς P^5 | Ἰησοῦ] τοῦ $P^1C^1LP^3$ ð | Χριστοῦ] τοῦ κυρίου ἡ<μῶν> P^5, *von* a *vor* Ἰησοῦ *zugefügt* | εἷς P^5 | ἐξ ὑμῶν > P^2 | καὶ <ὑπο>δεξάσθω P^5 | ὑποδέξεται P^1, ὑποδέξηται C^1 | μου *s. l. m. 2?* L | **4** ἡ δὲ *scheint* P^5 *auszulassen* | εὐθὺς] + δὲ ὁ ὄναγρος P^5 | πρὸς P^2, π<ρὸς> P^5 | ἦλθεν P^5 | καὶ ἐπ<ιθεὶς αὐτῶ> P^5 | αὐτὰ L | **5** ἐπι<καθί>σας *v. jg. Hd. zu* ἐπικοπιάσας *ergänzt* P^5 | ἐν ἄλλῃ μιᾶ ἡμέρα $P^2P^5P^1C^1$, ἐν μονημέρω LP^3 ð | ἐπὶ > P^2 | τῶ σπηλαίω P^2 | διαθέντος — 7 ἀπέψυξαν > P^5 r | **6** καὶ τ. ὀπώρας > s | ἦλθεν LP^3 ð | εἶχον] ἦν LP^3 | **7** μόνων P^1 | **8** παρέβαλε P^5 | δὲ > L | δέ ποτε P^5 | τινα P^3 | ἀδελφοὺς P^2 a | ποτε > P^5LP^3 ð | καὶ λέγει P^5 | **9** διὰ τί P^5 | δῆτα P^2, > P^5 | σήμερον > s | **10** ἀποκριναμένων ὅτι P^5 | διὰ τὸ > LP^3 ð | πέραθεν] ἐκ τῶν ἄντικρυς $P^2P^1C^1$ | λέγει P^5 | **11** αὐτούς] + ἐγὼ P^5C^1 | ἀπελθὼν οὖν P^2 | εἶπον P^5 | διαβῆναι, δια *i. mg.* P^1 | **12** καὶ — 13 τόπῳ] καὶ διὰ s | γὰρ > C^1 | μέγιστον] + ἐλέγετο P^5, ἔλεγον P^3 | ἐν > LP^3 | **14** εὐθὺς¹ > P^2 s | ποταμὸν P^5 | εὐθὺς²] ἰδοὺ P^5, > s | αὐτὸν *nach* 15 ὑποδεξάμενον P^5 | **15** ἐπὶ τῶν νώτων P^5, ἐπὶ τὸν νῶτον P^2, ὑπὸ τὸν νότον (νῶτον C^1) P^1C^1 | ἀποκατέστησεν P^1 ð | **16** ἐν τ. χωρίῳ > s | **17** ἐκεῖνος αὐτὸν P^2 | ἐνδεδυμένον] φοροῦντα P^2P^5 | παρ' αὐτοῦ ἐπυνθάνετο ð | ἐπύθετο — 18 ἐπειπών] καὶ τὴν ταπείνωσιν αὐτοῦ καὶ εὐτέλειαν θαυμάσας, ἔφη· ὄντως P^5 | ἐπύθετο — 19 ἀδελφὲ > s | **18** ἄρα] + ὁ P^1 | ἐκέκτητο] ἐνδεδυμένος P^1C^1 | ἐπει πῶς P^3, ἐπεὶ L, εἰπὼν P^2 | τῆς ψυχῆς ἱμάτιον P^2 | **19** τὴν — 20 εὐτέλειαν > P^5 | καὶ θαυμάσας τὴν ταπεινοφροσύνην αὐτοῦ P^2 | δὲ] γὰρ P^1, > C^1 | αὐτοῦ θαυμάσας *nach* 20 εὐτέλειαν P^1C^1 | τὴν > LP^3 ð | **20** εἵπετό τε P^3, εἶπε τότε L, ἠκολούθει οὖν P^5 | εἰς LP^3 ð | **21** εὕρων P^1, εὕρωσαν C^1 | ἀφίει P^2, ἠφίετο P^1C^1 | **22** ὑπήκουσεν P^1C^1 | αὐτοῦ P^2P^5 ð | αὐτῷ] + καὶ P^1C^1. |

Digitized by Google

δὲ τὸν πρεσβύτερον συνεπιβῆναι αὐτῷ. 9. ἔμφοβος δὴ γενόμενος ἐκεῖνος ἑωρακὼς τὸ θηρίον ἐπὶ τὰ ὄπισθεν ἀνεχώρει, ὡς δὴ θάμβος ἔσχεν αὐτὸν καὶ τοὺς ἀντιπέραν οἰκοῦντας ἀδελφοὺς θεασαμένους αὐτὸν σὺν τῷ θηρίῳ τὸν πόρον διαπορθμεύσαντα. ἀνελθὼν εἰς τὴν ξηρὰν συνεπεσπάσατο τὸ θηρίον τεθνάναι ἄμεινον λέγων αὐτῷ ἢ κερδᾶναι τῶν ἀναιρεθεισῶν ψυχῶν τὴν δίκην. τὸ δὲ παραχρῆμα πεσὼν ἐξέψυξεν.

10. Προσκαρτερήσας δὲ ἡμέρας τρεῖς τοῖς ἀδελφοῖς ἐκάθητο διδάσκων αὐτοὺς τὰς ἐντολὰς καὶ τὰ ἑκάστου ἐν κρυπτῷ βουλεύματα φανερῶς ἐξαγγέλλων, τὸν μὲν ὑπὸ πορνείας ἐνοχλεῖσθαι λέγων, τὸν δὲ ὑπὸ κενοδοξίας, ἄλλον ὑπὸ τρυφῆς, ἕτερον δὲ ὑπὸ ὀργῆς· καὶ ὃν μὲν πρᾶον, ὃν δὲ εἰρηνικὸν ἀπεφήνατο· τῶν μὲν τὴν κακίαν, τῶν δὲ τὰς ἀρετὰς ἐξελέγχων. 11. ἀκούοντες δὲ ταῦτα ἐθαύμαζον λέγοντες ἀληθῶς οὕτως εἶναι. εἶπε δὲ πρὸς αὐτούς· ‚ἑτοιμάσατε ἡμῖν λάχανα. ἐλεύσονται γὰρ σήμερον πλείονες ἀδελφοὶ πρὸς ἡμᾶς'. οἱ δὲ ὡς ηὐτρέπιζον ἐπιστάντες οἱ ἀδελφοὶ ἀλλήλους ἠσπάζοντο.

12. Ἠξίου δέ τις αὐτὸν τῶν ἀδελφῶν συνδιάγειν αὐτῷ ἐν τῇ ἐρήμῳ βουλόμενος. λέγοντος δὲ αὐτοῦ, μὴ δύνασθαι ὑπενεγκεῖν τοὺς πειρασμοὺς τῶν δαιμόνων, φιλονικώτερον ἐκεῖνος διατεθεὶς πάντα ὑπενεγκεῖν ἐπηγγέλλετο. καὶ δὴ ὑποδεξάμενος αὐτὸν εἰς ἕτερον σπήλαιον οἰκεῖν παρεκελεύετο. 13. ἐπιστάντες δὲ νύκτωρ οἱ δαίμονες πνίγειν αὐτὸν ἐπεχείρουν τὸ πρῶτον αἰσχροῖς λογισμοῖς ἱκανῶς διαταράξαντες· ἐκδραμὼν δὲ ἐκεῖνος τὰ συμβάντα αὐτῷ ἀπήγγειλε τῷ ἀββᾷ Ἕλληνι. περιχαράξας δὲ ἐκεῖνος τὸν τόπον ἐκέλευσε τὸ λοιπὸν μετὰ ἀδείας μένειν αὐτόν.

$P^2P^5P^1C^1LP^3$ ϑ r s a] **1** ἐπιβῆναι P^1C^1 | αὐτῷ] + ὁ δὲ P^5 | δὴ > P^5 | ἐκεῖνος — **2** θηρίον > P^5 | **2** συνεωρακὼς ϑ | ὑπεχώρει $P^1C^1P^3$ ϑ | αὐτὸν καὶ > s | δὴ *scripsi*, δὲ O | εἶχεν P^5 | **3** ἀντίπερα P^1C^1L | οἰκοῦντας > P^5 | ἀδελφοὺς *nach* τοὺς P^5 | θεασαμένους αὐτὸν > P^1 | αὐτοὺς C^1 | **4** διαπορθμεύσανταῗ, *del.* σ *m. 1* C^1, διαπορθμεύοντα P^5 | ἐπὶ $P^2P^1C^1$ | συνεσπάσατο $P^2P^1C^1$ | **5** λέγων αὐτῷ ἄμεινον ϑ | αὐτὸ P^2P^5, > C^1 | ἢ] καὶ $P^5P^1LP^3$ ϑ | ἀναιρεθέντων P^1 | **6** δὲ] + θηρίον P^5 | πεσὸν P^5C^1 | **7** ἐκαθέζετο P^1 | **8** αὐτοῖς P^2LP^3 | ἐντολὰς] + τοῦ θεοῦ P^2 | [ἐ]ν *a. Ras.* C^1 | **9** διαγγέλλων P^5 | **10** ἕτερον δὲ] ἄλλον P^1C^1, καὶ ἕτερον P^5 | δὲ > P^2P^5 | **11** ὃν δὲ] ἄλλον C^1 | εἰρηναῖον P^2 | ἀπεφήνατο] + καὶ LP^3 ϑ | τῶν] τοῦ ϑ | τὰς κακίας P^1C^1, τὰ πάθη P^5 | τῶν] τοῦ ϑ | **12** ἐλέγχων $P^2P^1C^1$ | οἱ δὲ ἀκούοντες ταῦτα P^5 | ἐθαύμασαν P^1 | ἀληθῶς ο. εἶναι] ἀληθῆ αὐτὸν πάντα λέγειν P^5 | **14** μοναχοὶ P^2 | οἱ > P^2 | ὡς] + ἔτι P^1C^1, δὲ P^2 | ἐπιστάντων τῶν ἀδελφῶν P^5LP^3 ϑ | **15** ἠσπάζοντο] + οἱ καὶ ἀπολαύσαντες τῶν πνευματικῶν αὐτοῦ ὁμιλιῶν ἔχαιρον εὐχαριστοῦντες τῷ κυρίῳ P^5 | **16** αὐτὸν *aus* αὐτῶν *corr.* L, αὐτῶν ϑ | τῶ[ν] *a. Ras.* C^1 | αὐτῷ > L | **17** βουλόμενος > P^5 s | αὐτοῦ δὲ λέγοντος P^5 | αὐτῷ *m. 2 corr. aus* αὐτοῦ P^2 | δύνασθαι] + αὐτὸν P^2 | **18** φιλονικώτερον > P^5 | διατεθεὶς > P^5 | ἐπηγγέλλετο πάντα ὑπενεγκεῖν P^5 | **19** αὐτῷ P^2 | παρεκελεύετο εἰς ἑ. σπ. οἰκεῖν αὐτὸν P^5 | εἰς] + τὸ C^1 | ἕτερον] πλησίον s | **20** δὲ] + αὐτῷ P^2 | τὸ > P^5 | **21** ἱκανῶς > $P^2P^1C^1$ | διαταράξαντες ἱκανῶς P^5 | δραμὼν P^5 | δὲ > L | ἐκεῖνος] + πρωίας P^2 | **22** αὐτῷ > P^1C^1 ϑ | ἀπήγγειλον P^3, ἐπήγγελε ϑ | ἕλλην P^5LP^3 | ἐλθὼν τοίνυν ὁ πατὴρ καὶ περιχαράξας τὸν P^5 | ἐκεῖνος > P^2 | τόπον] + τῷ σημείῳ τοῦ σταυροῦ P^5 | **23** τὸ > P^5 | διάγειν P^5 | αὐτόν] + καὶ ἐκ τότε οὐκέτι ἔσχεν ὁ πονηρὸς χώραν ἐνοχλεῖν τῷ ἀδελφῷ P^5. |

Digitized by Google

14. Ἄρτων δὲ αὐτούς ποτε ἐπιλειπόντων ἐν τῷ σπηλαίῳ ἐπιστὰς ἄγγελος ἐν ἀδελφοῦ σχήματι ἐκόμιζεν αὐτοῖς τὴν τροφήν. ἄλλοτε δὲ ἐπιζητοῦντες αὐτὸν ἀδελφοὶ δέκα τὸν ἀριθμὸν ἐπλάζοντο κατὰ τὴν ἔρημον ἑβδόμην ἡμέραν ἄσιτοι διατελοῦντες. εὑρὼν δὲ αὐτοὺς ἐκέλευσεν ἀναπαύεσθαι ἐν τῷ σπηλαίῳ. 15. οἱ δὲ ὡς ὑπέμνησαν περὶ διαίτης, ἐκεῖνος [μηδὲν ἔχων παραθεῖναι] ἔλεγε πρὸς αὐτούς· ‚δυνατὸς ἐστὶν ὁ θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ'. εὐθὺς δὲ πρὸ θυρῶν παῖς τις καλὸς νεανίας ἐπέμενε κρούων εὐχομένων αὐτῶν. ἀνοίξαντες δὲ εἶδον τὸν νεανίαν σπυρίδα μεγάλην μεστὴν ἄρτων καὶ ἐλαιῶν ἔχοντα. ὑποδεξάμενοι δὲ αὐτὰ μετελάμβανον εὐχαριστοῦντες τῷ κυρίῳ, τοῦ παιδὸς εὐθὺς ἀφανοῦς γενομένου.

16. Ταῦτά τε καὶ ἄλλα πλείονα θαυμαστὰ ὁ πατὴρ Κόπρης ἡμῖν ὑφηγησάμενος καὶ φιλοφρονησάμενος ἡμᾶς κατὰ τρόπον εἰς τὸν ἑαυτοῦ κῆπον εἰσήγαγε δεικνύων ἡμῖν φοίνικας καὶ ἄλλα ὀπωρικά, ἅπερ αὐτὸς ἐν τῇ ἐρήμῳ ἐφύτευσεν ὑπὸ τῆς τῶν ἀγροίκων πίστεως ὑπομνησθείς. πρὸς οὓς εἶπεν, ὅτι· ‚δύναται καὶ ἡ ἔρημος καρποφορῆσαι τοῖς ἔχουσι πίστιν εἰς τὸν θεόν. ὡς γὰρ εἶδον, φησίν, αὐτοὺς τὴν ψάμμον σπείραντας καὶ τὴν χώραν αὐτῶν καρποφορήσασαν κἀγὼ τὸ αὐτὸ ἐπιχειρήσας ἐπέτυχον'.

XIV. Περὶ Ἀπελλῆ πρεσβυτέρου.

1. Εἴδομεν δὲ καὶ ἕτερον πρεσβύτερον ἐν τοῖς μέρεσι τῆς Ἀχωρέως, ὀνόματι Ἀπελλῆν, ἄνδρα δίκαιον καὶ τὴν χαλκευτικὴν τέχνην πρῶτον

---

6 Cf. Ps. 77,19. **19** C. 15 r, c. 60 ∂. Cf. Sozom., h. e. VI 28,7: ἐπὶ τούτοις καὶ Ἀπελλῆς τηνικάδε διέπρεπε περὶ Ἄχωριν ἐν τοῖς κατ' Αἴγυπτον μοναστηρίοις

5 C. 21 r, c. 69 ϑ. Cf. Sozom., h. e. VI 31,1: καλοῦσι δὲ τὸν χῶρον τοῦτον Νιτρίαν, καθότι κώμη τις ἐστὶν ὅμορος, ἐν ᾗ τὸ νίτρον συλλέγουσιν. οὐ τὸ τυχὸν δὲ πλῆθος ἐνταῦθα ἐφιλοσόφει, ἀλλὰ μοναστήρια ἦν ἀμφὶ πεντήκοντα ἀλλήλοις ἐχόμενα, τὰ μὲν συνοικιῶν, τὰ δὲ καθ᾽ ἑαυτοὺς οἰκούντων. 2. ἐντεῦθεν δὲ ὡς ἐπὶ τὴν ἔνδον ἔρημον ἡκόντων ἕτερος ἐστὶ τόπος, σχεδὸν ἑβδομήκοντα σταδίοις διεστώς, ὄνομα Κέλλια. ἐν τούτῳ δὲ σποράδην ἐστὶ μοναχικὰ οἰκήματα πολλά, καθὸ καὶ τοιαύτης ἔλαχε προσηγορίας. κεχώρισται δὲ τοσοῦτον ἀλλήλων, ὡς τοὺς αὐτόθι κατοικοῦντας σφᾶς αὐτοὺς μὴ καθορᾶν ἢ ἐπαίειν. 3. συνίασι δὲ πάντες εἰς ταὐτὸν ἅμα καὶ ἐκκλησιάζουσι τῇ πρώτῃ καὶ τελευταίᾳ ἡμέρᾳ τῆς ἑβδομάδος. ἢν δέ τις μὴ παραγένηται, δῆλος ἐστὶν ἄκων ἀπολειφθεὶς ἢ πάθει τινὶ ἢ νόσῳ πεπεδημένος, καὶ ἐπὶ θέαν αὐτοῦ καὶ θεραπείαν οὐκ εὐθὺς πάντες ἀπίασιν, ἀλλ᾽ ἐν διαφόροις καιροῖς, ἕκαστος ἐπιφερόμενος, ὅπερ ἔχει πρὸς νόσον ἁρμόδιον. 4. ἐκτὸς δὲ τοιαύτης αἰτίας οὐχ ὁμιλοῦσιν ἀλλήλοις, εἰ μὴ λόγων ἕνεκεν εἰς γνῶσιν θεοῦ τεινόντων ἢ ὠφέλειαν ψυχῆς ἔλθοι τις μαθησόμενος παρὰ τὸν φράσαι δυνάμενον. οἰκοῦσι δὲ ἐν τοῖς κελλίοις, ὅσοι τῆς φιλοσοφίας εἰς ἄκρον ἐληλύθασι καὶ σφᾶς ἄγειν δύνανται καὶ μόνοι διατρίβειν δι᾽ ἡσυχίαν χωρισθέντες τῶν ἄλλων.

$P^2P^5P^1C^1ALP^3P^6P^7$ ϑ r s^1] **1** διαφέρει P^5 | τοὺς κοσμικοὺς P^1C^1A, τοῦ κοσμικοῦ P^6P^7 | κοσμικῶν] + τούτων s^1 | οὓς καὶ P^2P^1 | καὶ > $P^2C^1AP^6P^7$ | **2** ἢ δι᾽ ὑ. s^1 | τοῦ σώματος P^5 | ὀλίγας P^2 | αἰτίας] ἐπιθυμίας P^1C^1A | πόσῳ] + δὴ οὖν P^3 ϑ | **3** ἐπιμελεῖν P^6P^7 | τοῦ νοῦ ... καὶ τῆς ψυχῆς s^1 | τὴν] + αἰτίαν καὶ P^7 ϑ | ὑγίειαν] + ἀλώβητον διαφυλάξαι P^5 | καὶ τ. νοῦ] κουφίζων P^7 | νοῦ] + φησὶ P^1C^1A | **4** σώματος P^6P^7 | *In* P^2 *folgt hier c. V s. S.* 29,1. |

5 $P^2P^5P^1C^1P^3P^6P^7$ r s a] περὶ — μοναχῶν > $P^1C^1AP^6P^7$ s^1 | τῶν — μοναχῶν] τῆς Νιτρίας P^2 | *„über die, welche in jener Stadt von Nitrien waren“* a | ἀδελφῶν s | **6** εἰς τὴν P^2 | καὶ μεγάλους > a | **7** ἐγχωρίους *u.* ξένους *vertauscht* a | **8** καὶ — 9 ἐνδεικνυμένους] καὶ ζήλῳ πνευματικῷ πρὸς τὴν ἄσκησιν διακειμένους P^5 | διακειμένους πρὸς τὴν ἄσκησιν P^6 | **9** ἐπιδεικνυμένους P^2 | **10** θεωρίαν] + *göttliche* s | **11** γὰρ] δὲ P^5 | πόρρωθεν] + ὄντας καὶ a | **12** προσυπήντησαν P^6, προσυπήντων P^2 | οἱ δὲ — 13 ἔνιπτον *nach* 13 ἔπλυνον P^5 | **13** ἡμῶν] + προσερχόμενοι a | οἱ δὲ — ἔπλυνον > a | ἔπλυναν P^3 | οἱ δὲ²] καὶ οἱ μὲν P^2 | πρὸς P^2 | **14** ἐκάλουν P^2 | ἕτεροι P^2 | τῶν > P^7 ϑ | μάθησιν] + προετρέποντο P^5 s | ἕτεροι P^2. |

Digitized by Google

θεωρίαν καὶ τὴν τοῦ θεοῦ γνῶσιν. καὶ ὅπερ ἕκαστος αὐτῶν ἠδύνατο, τοῦτο ἔσπευδεν ἡμᾶς ὠφελεῖν. καὶ τί ἄν τις εἴποι πάσας αὐτῶν τὰς ἀρετάς, μηδὲν ἐπαξίως λέγειν δυνάμενος;

3. Ἔρημον οὖν οἰκοῦσι [τὸν] τόπον, καὶ τὰ κέλλια ἐκ διαστήματος ἔχουσιν, ὡς μηδένα γνωρίζεσθαι πόρρωθεν ὑφ' ἑτέρου, μηδὲ ὁρᾶσθαι ταχέως, μηδὲ φωνῆς ἐπακούειν, ἀλλ' ἐν ἡσυχίᾳ πολλῇ διάγουσιν ἕκαστος καθ' ἑαυτὸν καθειργμένος· μόνον δὲ ἐν σαββάτῳ καὶ κυριακῇ ἐν ταῖς ἐκκλησίαις συνάγονται καὶ ἀλλήλους ἀπολαμβάνουσιν. πολλοὶ δὲ αὐτῶν πολλάκις καὶ τεταρταῖοι τεθνεῶτες ἐν τοῖς κελλίοις αὐτῶν εὑρίσκονται ἐκ τοῦ μὴ ὁρᾶν ἀλλήλους πλὴν ἐν ταῖς συνάξεσιν. 4. καὶ οἱ μὲν αὐτῶν ἀπὸ τριῶν σημείων καὶ τεσσάρων εἰς τὴν σύναξιν ἔρχονται· τοσοῦτον μακρὰν ἀπ' ἀλλήλων διεστήκασιν. ἀγάπην δὲ τοσαύτην ἔχουσι πρὸς ἀλλήλους καὶ περὶ τὴν λοιπὴν ἀδελφότητα, ὡς πολλοῖς βουληθεῖσι σὺν αὐτοῖς σωθῆναι ἕκαστον τὸ ἑαυτοῦ κέλλιον σπεύδειν αὐτοῖς εἰς ἀνάπαυσιν δοῦναι.

XXIV. Περὶ Ἀμμωνίου.

1. Εἴδομεν δὲ καὶ πατέρα τινὰ τῶν ἐκεῖ, Ἀμμώνιον ὀνόματι, ἐξαίρετα κέλλια ἔχοντα καὶ αὐλὴν καὶ φρέαρ καὶ τὰς λοιπὰς χρείας. ἐλθόντος δὲ πρὸς αὐτόν τινος ἀδελφοῦ σωθῆναι σπεύδοντος καὶ λέγοντος αὐτῷ ἐπινοεῖν αὐτῷ κέλλιον πρὸς οἴκησιν, εὐθὺς ἐξελθὼν παρήγγειλεν αὐτῷ μὴ ἀναχωρεῖν τῶν κελλίων, ἄχρις ἂν εὕρῃ αὐτῷ ἐπιτήδειον καταγώγιον. καὶ

---

4 C. 22 r. **15** C. 23 r, c. 70 𝔡.

$P^2P^5P^1C^1P^3P^6P^7$ 𝔡 r s a] **1** τὴν > P^6 | αὐτῶν] ἡμῶν P^6 | **3** μηδὲν > P^6 | λέγειν] + μὴ P^6 | **4** οὖν] γὰρ P^6, > $P^2P^1C^1$ | τὸν > $P^2P^5P^1P^6$ s | τὸ κέλλιον C^1 | **5** ἔχοντες P^1 | ὡς] + καὶ P^7 𝔡 | ὡς μὴ δύνασθαί τινα τὸν ἕτερον γνωρίζειν P^5 | μηδὲν ἀγνωρίζεσθαι C^1, μηδὲν ἀγνωρίζεσθε P^1 | διαγνωρίζεσθαι P^3P^7 𝔡 | ὑφ' ἑτέρων *nach* ὁρᾶσθαι P^5 | μηδέ] μήτε P^6 | **6** μηδέ] μήτε $P^2P^1C^1P^6$ | ἐπακοῦσαι P^1C^1, ὑπακοῦσαι P^6, ἀλλήλων ἀκούειν P^5 | πολλῇ > a | διάγειν P^3 | ἑκάστου . . . καθειργμένου P^7 𝔡 | **7** ἐν > P^6 | συνάγονται ἐν τ. ἐ. P^6 | **8** συνήγοντο $P^2P^1C^1$ | ἀπελάμβανον $P^2P^1C^1$, ἀπολαύουσι P^6, βλέπουσι P^5 r a | πολλάκις > P^2 | **9** τεταρταῖοι] *lange Zeit* s | τεθνεῶτες P^6 s, > *rell.* | εὑρίσκονται ἐν τοῖς ἑαυτῶν κελλίοις P^5 | αὐτῶν > $P^2P^1C^1$ | εὑρίσκοντο $P^2P^1C^1$, *sind eingeschlossen* a | ἐκ τοῦ] ἐν τῷ P^3 | ἐκ — 10 συνάξεσιν > P^2 | **10** καὶ] ἢ P^6 | σημείων] *Monaten* s, *Tagen* s^c | **11** ἤρχοντο $P^2P^1C^1$ | τοσοῦτον] + γὰρ P^1 | ἀπ' > P^5 | **12** εἶχον $P^2P^1C^1$ | εἰς P^5 | περὶ] πρὸς P^2, εἰς P^5, > P^6 | **13** πολλοῖς] πολλοὺς πολλάκις P^1C^1, πολλοὺς P^5 | συμβουλεύειν P^3P^7 𝔡 | συσσωθῆναι P^3P^7 𝔡 | ἕκαστος P^1C^1 | τε τὸ P^3 | **14** ἔσπευδεν P^1C^1. |

15 $P^2P^5P^1C^1P^3P^6P^7$ 𝔡 r s a] περὶ] + τοῦ ἀββᾶ $P^5P^3P^7$ | Ἀμμωνίου] + καὶ τῶν σὺν αὐτῷ P^7 𝔡 | *die Überschrift fehlt bei* $P^1C^1P^6$ a | **16** εἴδομεν (εἶδον P^1 a) δὲ ἐκεῖ P^1 s a, εἶδον δὲ καὶ P^2P^6 | ἴδον δὲ τῶν ἐκεῖσε πατέρα τινα C^1 | ὀνόματι ἀμμώνιον C^1 | **17** δὲ] + ποτε $P^2P^1C^1$ | **18** πρὸς αὐτὸν *nach* ἀδελφοῦ $P^1C^1P^6$, ἀδελφοῦ τινος πρὸς αὐτὸν P^2 | ἀδελφοῦ τινος P^5 | σπεύδοντος] βουλομένου P^2P^5 | αὐτῷ] αὐτοῦ P^1C^1 | **19** ἐπινοεῖν] *bauen* (ποιεῖν?) s | αὐτῷ] τούτῳ P^5, > P^2P^6 | εὐθὺς] ὃς (ὡς P^3, ὁ δὲ ὡς P^6) ἐπὶ τούτῳ (τοῦτο P^6) $P^3P^6P^7$ 𝔡 | ἐξελθὼν] + ἐπὶ τούτῳ P^5 | αὐτὸν P^1 | **20** ἀναχωρεῖν] + αὐτὸν ἐκ P^7 𝔡, ἐκ P^3, αὐτὸν P^6 | κέλλιον ἐπιτήδειον P^2. |

Digitized by Google

καταλιπὼν αὐτῷ πάντα ὅσα εἶχε σὺν αὐτοῖς τοῖς κελλίοις, ἑαυτὸν εἰς μικρόν τι κέλλιον μακρὰν ἐκεῖθεν ἀπέκλεισεν. 2. εἰ δὲ καὶ πλείονες ἦσαν οἱ συνερχόμενοι σωθῆναι θέλοντες, συνῆγε πᾶσαν τὴν ἀδελφότητα, καὶ τοῦ μὲν πλίνθους ἐπιδιδόντος, τοῦ δὲ ὕδωρ, ἐν ἡμέρᾳ μιᾷ τὰ κέλλια ἀπεπληροῦντο. 3. τοὺς δὲ μέλλοντας οἰκεῖν τὰ κέλλια ἐκάλουν εἰς τὴν ἐκκλησίαν εἰς εὐωχίαν· καὶ ὡς ἔτι ἐκεῖνοι ηὐφραίνοντο, ἕκαστος ἐκ τοῦ οἰκείου κελλίου γεμίσας ἑαυτοῦ τὴν μηλωτὴν ἢ τὴν σπυρίδα ἄρτων καὶ τῶν λοιπῶν ἐπιτηδείων εἰς τὰ νέα κέλλια ἀπέφερον, ἵνα μηδενὶ φανερὸν γένηται ἡ ἑκάστου καρποφορία. ἐρχόμενοι δὲ εἰς ἑσπέραν οἱ μέλλοντες οἰκεῖν τὰ κέλλια ηὕρισκον ἐξαίφνης πάντα τὰ ἐπιτήδεια.

4. Πολλοί τε αὐτῶν οὔτε ἄρτον ἤσθιον οὔτε ὀπώρας, ἀλλὰ πικρίδας μόνον. τινὲς δὲ αὐτῶν οὐδὲ ἐκάθευδον ὅλην τὴν νύκτα, ἀλλ' ἢ καθήμενοι ἢ ἑστῶτες ἄχρι πρωὶ ἐκαρτέρουν προσευχόμενοι.

XXV. Περὶ Διδύμου.

Εἴδομεν δὲ ἐκεῖ ἄνδρα, ὀνόματι Δίδυμον, πρεσβύτην τῇ ἡλικίᾳ, ἀστεῖον τῇ ὁράσει, ὃς τοὺς σκορπίους καὶ κεράστας καὶ τὰς ἀσπίδας ποσὶν οἰκείοις ἀπέκτεινε, μηδενὸς ἑτέρου τολμῶντος τοῦτο ποιεῖν· ἀλλὰ καὶ πολλοὶ ἕτεροι τῶν δοκούντων ὑπ' αὐτῶν ἀνῃρέθησαν τῶν θηρίων μόνον ἀψάμενοι.

XXVI. Περὶ Κρονίδους.

1. Εἴδομεν καὶ ἕτερον πατέρα μοναχῶν, ὀνόματι Κρονίδην, ἐν γήρει

---

14 C. 24 r; cf. *J. B. Cotelerius*, Ecclesiae Graecae monumenta III, p. 184. Socr., h. e. IV 18. Sozom., h. e. VI 30,1. **19** C. 26 r. Cf. Sozom., h. e. VI 30,1: Κρονίων ἀμφὶ τοὺς ἑκατὸν καὶ δέκα ἐνιαυτοὺς γεγονώς.

$P^2P^5P^1C^1P^3P^6P^7$ δ r s a] **1** αὐτῷ] + τοίνυν P^2 | εἰς] + ἕτερον P^5 | **2** τι > P^5 | ἀπέκλεισεν] + καὶ ἐδήλωσεν τῷ ἀδελφῷ μηκέτι ὑποχωρεῖν τῶν κελλίων, ἀλλ' ἔχειν αὐτὰ μετὰ πάντων τῶν ὄντων ἐκεῖσε P^5 | **3** ἐρχόμενοι P^6 | **4** τοῦ μ. ὑ. ἀντλοῦντος, τοῦ δὲ π. ἐπιδόντος s | μιᾷ ἡμέρᾳ P^2P^6, τάχει P^5 | **5** ἐπληροῦντο P^1C^1, ἀπετελοῦντο P^5, ἐπετελοῦντο P^2 | εἰς τὰ P^5 | τὰ κέλλια] ἐν αὐτοῖς P^2 | πρὸς P^7 δ | εἰς τ. ἐκκλησίαν > P^5 | **6** εἰς — ηὐφραίνοντο] καὶ εἷς P^2 | εἰς εὐωχίαν > P^6 | ἔτι > P^5 | ἐξ (> τοῦ) P^2 | **7** γεμώσας P^2 | αὐτοῦ C^1 | τὴν¹ > P^2 | καὶ P^5P^6 s, ἢ *rell.* | **8** ἐπέφερον P^7 δ | ἵνα — **9** καρποφορία > P^1 | φανερὰν C^1, φανερὰ P^6, > P^5 | **9** γένηται γνωστὴ P^5 | πληροφορία P^3 | δὲ > P^5 | εἰς > P^6 | ἑσπέρας P^6 | **10** εὐθὺς P^2 | πάντα τὰ] τὰ τοῦ σώματος P^2 | **11** πολλοὶ — 13 προσευχόμενοι > $P^2P^1C^1$(L)P^3P^6 r s a; *sie fügen es am Schluss von c. XXVII zu* | δὲ P^2 | αὐτῶν] τῶν ἐκεῖσε πατέρων P^5 | ὀπώραν P^2P^1 | **12** μόνον] + *u. getrocknetes Gemüse* s; > P^1C^1 | οὔτε P^1 | ἀλλ' ἢ] ἀλλὰ P^2P^5 | **13** διεκαρτέρουν LP^3. |

14 $P^5P^1C^1$(L)P^3 r s a] περὶ] + ἀββᾶ P^3 δ | Διδύμου] + καὶ κορνηλίου τῶν πατέρων P^5 | *die Überschrift fehlt bei* P^1C^1 a | **15** ἐκεῖ] ἐν ἐκείνοις τοῖς κελλίοις P^5 | Eugimos a | πρεσβύτερον P^1 | **16** τὰς > P^1C^1 | ἀσπίδας] *inc.* L *f. 110*a | τοῖς (> P^1) οἰκείοις ποσὶν P^1C^1 | **17** οἰκείοις] ἐκεῖνος μόνος P^5 | ἀπέκτενεν P^1C^1, ἀπέκταινε P^5 | τοῦτο τολμῶντος P^5 | ἀλλὰ — 18 ἀψάμενοι] μηδενὸς ἄλλου τοῦτο ποιεῖν δυναμένου s, > P^5 | ἀλλὰ γὰρ P^1C^1. |

19 $P^2P^5P^1C^1LP^3$ r s a] περὶ] + ἀββᾶ L | κρονιδίου P^2, κορνηλίου LP^3, Cronio Sozom. r, Qronidos s | *die Überschrift fehlt bei* P^1C^1 (P^5 *s. o. zu Z.* 14) a | **20** εἴδομεν] + δὲ $P^2P^5P^3$ | πατέρα] + τῶν C^1 | μοναχὸν P^2 | κρονίδην ὀνόματι $P^2P^1C^1$ | κορνήλιον P^3LP^3a. |

Digitized by Google

καλῷ προοδεύσαντα, ἕνα τῶν ἀρχαίων ἀνδρῶν σὺν Ἀντωνίῳ γενομένων, ἑκατὸν δέκα ἐτῶν ὑπάρχοντα. ὃς πολλὰ παρακαλέσας ἡμᾶς καὶ νουθετήσας, ἑαυτὸν ἐξηυτέλιζεν τοσαύτην ταπεινοφροσύνην μέχρι γήρως κεκτημένος.

2. Εἴδομεν δὲ καί τινας τρεῖς ἀδελφοὺς λογίους πάνυ καὶ ἐναρέτους, οἳ διὰ τὴν ἐνάρετον αὐτῶν πολιτείαν εἰς ἐπισκοπὴν κρατηθέντες διὰ πολλὴν εὐλάβειαν τὰ ἑαυτῶν ὠτία ἀπέτεμον, τολμηρῶς μὲν ἄγαν ποιήσαντες, ὅμως κατὰ εὔλογόν τινα σκοπόν, ἵνα τοῦ λοιποῦ μηδεὶς αὐτοὺς ἐνοχλῇ.

XXVII. Περὶ Εὐαγρίου.

1. Εἴδομεν δὲ καὶ Εὐάγριον, ἄνδρα σοφὸν καὶ λόγιον, ὃς τῶν λογισμῶν ἱκανὴν εἶχε τὴν διάκρισιν ἐκ πείρας τὸ πρᾶγμα παρειληφώς. ὃς πολλάκις κατελθὼν εἰς Ἀλεξάνδρειαν τῶν Ἑλλήνων τοὺς φιλοσόφους ἐπεστόμιζεν. 2. οὗτος παρήγγειλε τοῖς μεθ' ἡμῶν ἀδελφοῖς, ὕδατος, [φησί], μὴ κορέννυσθε· ‚οἱ γὰρ δαίμονες, φησί, τοὺς ὑδροχόους τόπους συνεχῶς ἐπιβαίνουσιν'. ἄλλους τε πολλοὺς πρὸς ἡμᾶς περὶ ἀσκήσεως ἐποιήσατο λόγους ἐπιστηρίξας ἡμῶν τὰς ψυχάς.

XXVIII. Περὶ Μακαρίου.

1. Διηγοῦντο δὲ ἡμῖν πολλοὶ τῶν ἐκεῖ πατέρων Μακαρίου τὸν βίον τοῦ μαθητοῦ Ἀντωνίου πρὸ βραχέος χρόνου κομιδῇ τελειωθέντος. ὃς πλείστας μὲν δυνάμεις, ὥσπερ Ἀντώνιος, διεπράξατο, ποιῶν ἰάσεις τε καὶ

---

4 Cf. Pallad., h. Laus. 12. C. 1034 A, Sozom., h. e. VI 30,4 cf. c. 23 Anf. r. **8** C. 27 r; cf. *J. B. Cotelerius*, Ecclesiae Graecae monumenta III, 176 sq. Sozom., h. e. VI 30,6: τῷ δὲ (d. h. Ammonius) μετ' οὐ πολὺ ἐπὶ τῆς ἐχομένης βασιλείας συνῆν Εὐάγριος σοφός, ἐλλόγιμος ἀνήρ, νοῆσαί τε καὶ φράσαι δεινός, καὶ ἐπίβολος διακρῖναι τοὺς πρὸς ἀρετὴν καὶ κακίαν ἄγοντας λογισμούς· καὶ ἱκανὸς ὑποθέσθαι ᾗ χρὴ τοὺς μὲν ἐπιτηδεύειν, τοὺς δὲ φυλάξασθαι κτλ. **16** Cf. c. 28 r, c. 19.20 δ. Sozom., h. e. III 14,2.3.

$P^2P^5P^1C^1LP^3$ r s a] **1** Ἀντωνίῳ] + τῷ μεγάλω P^5 | γενόμενον P^2LP^3 | **2** νουθετήσας] ἐρωτήσας P^2 | **3** ἐξουθένει P^1C^1 | τοσαύτην] μεγάλην P^5 | μέχρι γήρως > P^5 | γήρους P^2P^3, γήρω C^1 | γήρους] + ἦν P^2 | κεκτημένον C^1, κεκτημένοϋς P^3 | κεκτημένος — 10 παρειληφώς > P^2 | **4** εἴδομεν — 7 ἐνοχλῇ > P^5 r | καί τινας] ἐκεῖ s | λογίους] καλοὺς P^1C^1 | καὶ ἐναρέτους > P^1C^1 | οἳ] ὡς P^1C^1 | **5** κρατηθέντας P^1C^1 | πολλὴν] + δὲ C^1 | **6** ὦτα LP^3 | ἄγαν > P^1C^1 | **7** τινα > P^1 | αὐτοῖς P^3 | ἐνοχλήσει P^1. |

8 $P^2P^1C^1$; LP^3 (*hier hinter c. X s. o. S.* 53,18) r s a] περὶ] + ἀββᾶ LP^3 | *die Überschrift fehlt bei* P^1C^1 a | **9** Εὐάγριον > P^1C^1 | ὅστις P^1C^1 | τῶν — 10 εἶχε] λογισμῶ νικᾶ P^1C^1 | **10** τὴν] ἣν ἔσχε (ἔσχεν C^1) P^1C^1; > P^3 | ἐκ] καὶ τῆς P^1C^1 | παρείληφεν P^1C^1 | **11** τοὺς *vor* τῶν LP^3 | **12** ἐπεστόμιζεν P^2 s, ἀπεστόμιζεν *rell.* | παρήγγελεν C^1P^3 | φησὶ > LP^3 s | **13** φησὶ > P^2P^1 | τοῖς P^2 | ὑδροχόεις P^3, ὑδροτελεῖς P^1C^1, ὑδροκέλλοις P^2, *wasserreich* a | τόποις P^2 | **14** περὶ ἀσκήσεως > P^2 | **15** ψυχὰς] + πολλοί τε κτλ. $P^2P^1C^1LP^3P^6$ r s a; *S. o. S.* 85,11. |

16 $P^2P^1C^1LP^3$ (δ) a] περὶ] + ἀββᾶ LP^3 | Μακαρίου] + τοῦ αἰγυπτίου C^1, (+ τοῦ P^3) μαθητοῦ Ἀντωνίου LP^3 | *die Überschrift fehlt bei* a | **18** Ἀντωνίου] + γεγονότος P^2 | βραχέως P^1LP^3 | ὡς L | **19** ὥσπερ ὁ P^2 | ποιῶν > P^1C^1. |

Digitized by Google

σημεῖα, ἃ οὐκ ἂν φθάνοι τις ἅπαντα ἐξειπεῖν. ὀλίγα δὲ αὐτοῦ τινα μνημονεύσαντες τῶν κατορθωμάτων μετρίως δηλώσομεν.

2. Οὗτος θεασάμενός ποτε παρὰ τῷ μεγάλῳ πατρὶ Ἀντωνίῳ βαία ἐκλεκτὰ αὐτὸν ἐργαζόμενον, ᾔτησε παρ' αὐτοῦ μίαν δεσμὴν τῶν βαίων. εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἀντώνιος· ‚γέγραπται· ‘οὐκ ἐπιθυμήσεις τὰ τοῦ πλησίον σου’‘. καὶ μόνον εἰπόντος εὐθέως τὰ βαία πάντα ὡς ὑπὸ πυρὸς ἐφρύγη. ὅπερ ἰδὼν ὁ Ἀντώνιος ἔφη τῷ Μακαρίῳ· ‚ἰδοὺ ἀναπέπαυται τὸ πνεῦμα ἐπί σε, καὶ ἔσῃ μοι λοιπὸν τῶν ἐμῶν ἀρετῶν κληρονόμος‘.

3. Ἐκεῖθεν πάλιν αὐτὸν ὁ διάβολος εὗρεν ἐν τῇ ἐρήμῳ κεκμηκότα λίαν τῷ σώματι καὶ φησὶ πρὸς αὐτόν· ‚ἰδοὺ τὴν χάριν εἴληφας Ἀντωνίου· τί δῆτα μὴ κέχρησαι τῷ ἀξιώματι καὶ αἰτεῖς παρὰ θεοῦ βρώματα καὶ ἰσχὺν πρὸς τὴν ὁδοιπορίαν;‘ ὁ δὲ φησὶ πρὸς αὐτόν· ‚ἰσχύς μου καὶ ὕμνησίς μου ὁ κύριός ἐστιν. σὺ δὲ οὐ μὴ ἐκπειράσῃς τὸν δοῦλον τοῦ θεοῦ.‘ 4. ποιεῖ οὖν φαντασίαν αὐτῷ ὁ διάβολος κάμηλον ἀχθοφόρον διὰ τῆς ἐρήμου πλαζομένην ἔχουσαν πάντα τὰ πρὸς τὴν χρείαν ἐπιτήδεια. ἥτις ἰδοῦσα τὸν Μακάριον ἔμπροσθεν αὐτοῦ ἐκάθισεν. ὁ δὲ ὑπολαβὼν αὐτὸ φάντασμα εἶναι — ὅπερ καὶ ἦν —, ἔστη εἰς προσευχήν. ἡ δὲ εὐθὺς εἰς τὴν γῆν κατεπόθη.

5. Ἄλλοτε δὲ πολλὰ νηστεύσας καὶ προσευξάμενος ᾐτήσατο παρὰ θεοῦ δειχθῆναι αὐτῷ τὸν παράδεισον, ὃν ἐν τῇ ἐρήμῳ τῆς Αἰγύπτου Ἰαννῆς καὶ Ἰαμβρῆς ἐφύτευσαν ἀντίτυπον τοῦ ἀληθινοῦ παραδείσου ποιῆσαι βουλόμενοι. 6. πλαζόμενον οὖν αὐτὸν διὰ τῆς ἐρήμου ἐπὶ τρισὶν ἑβδομάσι καὶ ἄσιτον διατελέσαντα καὶ ἤδη λειποψυχήσαντα ἄγγελος τῷ τόπῳ ἐπέστησεν· ἦσαν δὲ δαίμονες πάντοθεν φυλάσσοντες τὰς εἰσόδους τοῦ παραδείσου καὶ μὴ ἐῶντες αὐτὸν εἰσελθεῖν. ἦν δὲ παμμέγεθες τὸ χωρίον καὶ πολὺ τὸ διάστημα εἶχεν. 7. ὡς δὲ προσευξάμενος εἰσελθεῖν κατετόλμησεν, εὗρεν ἔνδον δύο ἄνδρας ἁγίους, οἳ καὶ αὐτοὶ τὸν αὐτὸν

---

3 οὗτος κτλ.] cf. Col. 1050 A *δ*. **5** Ex. 20,17. Dt. 5,21. **9** ἐκεῖθεν κτλ.] cf. Col. 1050 B *δ*. **11** Cf. Mt. 4,2 ff. Lc. 4,2 ff. **12** Ps. 117,14. **13** — ? cf. S. 23,5.

$P^2P^1C^1LP^3$ a] **1** ἃς C^1 | οὐδ' P^1 | φθάνη P^2, φθάνηι L | πάσας P^1C^1, > L | τῶν κατορθωμάτων μνημονεύσαντες P^1C^1 | **2** δηλώσωμεν P^2, ζηλώσωμεν LP^3 | **3** πατρὶ > LP^3 | **6** σου > P^2 | καὶ > P^2 | εἶπε καὶ P^2 | πάντα > P^2 | ἀπὸ P^1 | **7** ἐφρύγη] ἐξηράνθησαν P^2 | ἐπαναπέπαυται P^1C^1 | **8** πνεῦμα μου C^1 | σοι P^2 | μοι > $P^2P^1C^1$ | **9** ἐκεῖθεν] + δὲ P^1C^1 | πάλιν *nach* εὗρεν P^2 | αὐτὸν *nach* εὗρεν P^1C^1 | λίαν > L | **11** παρὰ τοῦ C^1 | ἰχθὺν P^1, ἰσχὺς L | **13** ἐστὶν ὁ κύριος P^1C^1 | ἐστιν > P^2 | οὐ μὴ] οὐκ LP^3 | πειράσεις LP^3 | τοῦ θεοῦ] αὐτοῦ P^2 | **14** αὐτῶ φαντασίαν P^1C^1 | φαντασία P^3 *δ* | αὐτῷ > P^3 *δ* | **16** αὐτὸ] αὐτὴν P^2, αὐτῶι L; > P^1 | **17** ὥσπερ L | **19** ἄλλοτε — S. 89,2 ἀπελθεῖν > s a | πολλάκις L | παρὰ θεοῦ] τὸν θεὸν P^1C^1 | **22** διὰ τ. ἐρήμου > L | τρεῖς ἑβδομάδας P^2 | **23** ἄγγελος] + αὐτὸν C^1 | **24** ἐπέστη P^2 | πάντοθεν > LP^3 | **26** πολ/////ὺ (λ *ausr.*) L | τὸ > P^2 | ἔχον P^2, ἦγεν L | ἐπευξάμενος L | **27** οἳ > C^1. |

Digitized by Google

τρόπον ἐκεῖ ἐληλύθεισαν ἱκανὸν ἤδη χρόνον ἔχοντες. προσευξάμενοι δὲ ἀλλήλους ἠσπάσαντο, λίαν ἐπ' ἀλλήλους χαίροντες. νίψαντες δὲ αὐτοῦ τοὺς πόδας τῶν καρπῶν τοῦ παραδείσου παρέθηκαν. ὁ δὲ μετειληφὼς ηὐχαρίστησε τῷ κυρίῳ θαυμάζων ἐπὶ τοῖς καρποῖς τοῖς μεγάλοις καὶ παμποικίλοις οὖσιν. ἔλεγον δὲ πρὸς ἀλλήλους· ,καλὸν ἦν ὧδε πάντας εἶναι τοὺς μοναχούς.' 8. ,ἦσαν δέ, φησί, πηγαὶ τρεῖς ἐν μέσῳ τοῦ παραδείσου μεγάλαι ἐκ τῆς ἀβύσσου βρύουσαι καὶ ποτίζουσαι τὸν παράδεισον, δένδρα δὲ παμμεγέθη καὶ πολύκαρπα, πᾶν γένος ὀπώρας τῆς ὑπὸ τὸν οὐρανὸν καρποφοροῦντα.' 9. ἐπιμείνας δὲ πρὸς αὐτοὺς ἡμέρας ἑπτὰ ἠξίου ἀπελθεῖν ὁ μακάριος εἰς τὴν οἰκουμένην καὶ ἄξαι σὺν αὐτῷ τοὺς μοναχούς. οἱ δὲ ἅγιοι ἄνδρες ἔλεγον πρὸς αὐτόν, μὴ δύνασθαι αὐτὸν τοῦτο ποιεῖν· πολλὴν γὰρ εἶναι τὴν ἔρημον καὶ ἐκτεταμένην καὶ πολλοὺς εἶναι δαίμονας κατὰ πᾶσαν τὴν ἔρημον τοὺς πλανῶντας τοὺς μοναχοὺς καὶ ἀναιροῦντας, ὡς πολλοὺς καὶ ἄλλους πολλάκις βουληθέντας εἰσελθεῖν ἀνῃρῆσθαι. 10. ὁ δὲ Μακάριος μὴ ἀνασχόμενος ἔτι μένειν ἐκεῖ, ἀλλ' εἰπών, ὅτι· ,δεῖ με αὐτοὺς ἀγαγεῖν ἐνθάδε, ἵνα τῆς τρυφῆς ἀπολαύσωσιν,' ὥρμησεν ἐπὶ τὴν οἰκουμένην ἐπιφερόμενός τινα τῶν καρπῶν πρὸς ἐπίδειξιν. καὶ βαίων δὲ πλῆθος συλλέξας ἐβάσταζε σημεῖα τιθεὶς ἐξ αὐτῶν κατὰ τὴν ἔρημον, ὡς ἵνα μὴ σφαλῇ [που] ἐπανερχόμενος. 11. ἀπονυστάξας δέ που τὴν ἔρημον καὶ ἔξυπνος γενόμενος εὗρε πάντα τὰ βαία πρὸς κεφαλῆς κατὰ αὐτοῦ συνηγμένα ὑπὸ δαιμόνων. πρὸς οὓς φησὶν ἀναστάς· ,εἰ θέλημα θεοῦ ἐστίν, οὐ δυνήσεσθε ἡμᾶς κωλῦσαι τοῦ εἰσελθεῖν εἰς τὸν παράδεισον.' 12. παραγενάμενος δὲ εἰς τὴν οἰκουμένην ἐπεδείκνυε τοὺς καρποὺς τοῖς μοναχοῖς προτρεπόμενος αὐτοὺς ἀπελθεῖν εἰς τὸν παράδεισον. συναχθέντες δὲ πατέρες πολλοὶ πρὸς αὐτὸν εἶπον· ,μὴ ἐπ' ὀλέθρῳ τῶν ψυχῶν τῶν ἡμετέρων ὁ παράδεισος γέγονεν. εἰ γὰρ αὐτοὶ νῦν ἀπολαύσομεν, ἀπειλήφαμεν τὰ ἀγαθὰ ἡμῶν ἐπὶ τῆς γῆς. τίνα δὲ μισθὸν ἕξομεν ὕστερον

26 Cf. Lc. 16,25.

$P^2P^1C^1LP^3$ a] **1** ἐκεῖ > $P^2P^1C^1$ | ἐληλύθασιν LP^3, εἰσεληλύθεισαν P^2 | χρόνον ἱκανὸν ἤδη $P^2P^1C^1$ | **2** ἐπ' ἀλλήλους] ὁμοῦ P^2 | χαιρόμενοι C^1, συγχαιρόμενοι P^2, χαροποιηθέντες P^1 | δὲ] οὖν P^1, > C^1 | **3** πόδας] + ἐκ P^1 | τὸν καρπὸν P^2LP^3 | παραδείσου] + ἐκείνου P^2 | δὲ] + τούτων P^2 | **4** θεῷ P^1C^1 | τοῖς² > $P^2P^1C^1$ | [καὶ παμποικί]λοις *durch Wasserrand unleserlich* P^1 | **5** πανποικίλοις LP^3 | οὖν LP^3 | καλὸν] + οὖν P^2 | **6** τοὺς μοναχοὺς εἶναι P^2 | **8** δὲ > P^1C^1 | τῆς] τοῖς L | **9** οὖν P^2 | ἡμέρας πρὸς αὐτοὺς ἑπτὰ L, ἡμέρας ἑπτὰ μετ' αὐτῶν P^3 | ἀπελθεῖν *nach* 10 οἰκουμένην P^2 | **10** ἄξειν L, ἄξει σὺν P^3 | **11** ἅγιοι > P^1C^1 | αὐτόν² > P^2 | **12** ἐκτεταμμένην P^2LP^3 | πολλοὺς εἶναι > LP^3 | **14** ἐλθεῖν P^1C^1 | ἀναιρεθῆναι P^1, ἀναιρεῖσθαι C^1LP^3 | **15** ἔτι > P^1 | **16** ἀγαγεῖν αὐτοὺς P^1C^1 | **17** πρὸς] εἰς P^2 | **18** συνάξας P^2 | **19** ὡς > LP^3 | που *str.* Schw. | ἐρχόμενος $P^1C^1LP^3$ | που² > P^2 | **20** κεφαλὴν P^1C^1L | **22** ἐστὶ θεοῦ P^2P^1, ἐστὶν θεοῦ P^3 | δυνήσησθε C^1, δύνασθε LP^3 | τὴν P^3 | **23** παραγενόμενος P^2C^1 | **24** αὐτοῖς L | **25** πολλοὶ πατέρες P^2 | εἶπαν P^3, ἔλεγον P^2 | τῶν ἡμετέρων ψυχῶν P^2 | τῶν ἡμετέρων] ἡμῶν L | **26** παράδεισος] + ἐκεῖνος P^2C^1, οὗτος P^3 | εἰ — ἀπολαύσομεν *i. mg. m. 2* C^1 | αὐτῶν C^1 | ἀπολαύσωμεν $P^2P^1LP^3$ | **27** ὕστερον ἕξομεν P^1C^1. |

Digitized by Google

πρὸς θεὸν ἀφικόμενοι ἢ ὑπὲρ ποίας ἀρετῆς τιμηθησόμεθα;‘ καὶ ἔπεισαν αὐτὸν τοῦ μηκέτι ἀπελθεῖν.

13. Ἄλλοτε δὲ σταφυλὰς πεμφθείσας αὐτῷ νεαρὰς ἐπιθυμήσαντι μεταλαβεῖν ἐνδεικνύμενος τὴν ἐγκράτειαν ἀπέστειλεν αὐτὰς πρὸς ἀδελφόν τινα κάμνοντα καὶ αὐτὸν σταφυλὰς ἐπιθυμοῦντα. ὃς δεξάμενος καὶ λίαν περιχαρὴς γενόμενος κρύπτειν ἑαυτοῦ τὴν ἐγκράτειαν βουλόμενος πρὸς ἄλλον ἀδελφὸν αὐτὰς ἐξαπέστειλεν ὡς αὐτὸς ἀνορέκτως ἔχων περὶ τὸ βρῶμα. δεξάμενος δὲ κἀκεῖνος τὸ βρῶμα ταὐτὸ πάλιν ἐποίησε καὶ αὐτὸς λίαν ποθῶν μεταλαβεῖν. 14. ὡς δὲ λοιπὸν εἰς πολλοὺς ἀδελφοὺς ἦλθον αἱ σταφυλαί, μηδενὸς βουληθέντος αὐτῶν μεταλαβεῖν, ὁ τελευταῖος αὐτὰς λαβὼν πρὸς Μακάριον ἀπέστειλεν, ὡς μέγα δῶρον αὐτῷ χαριζόμενος. ἐπιγνοὺς δὲ αὐτὰς ὁ Μακάριος καὶ πολυπραγμονήσας ἐθαύμασεν εὐχαριστῶν τῷ κυρίῳ ἐπὶ τῇ τοιαύτῃ αὐτῶν ἐγκρατείᾳ καὶ οὐδὲ αὐτὸς αὐτῶν τέλος μετείληφεν.

15. Ἄλλοτε δὲ φασὶ τὸν Μακάριον σπήλαιον οἰκοῦντα ἐν τῇ ἐρήμῳ προσεύχεσθαι· ἄλλο δὲ σπήλαιον ὑαίνης πλησίον ἐτύγχανεν, ἥτις εὐχομένου αὐτοῦ ἐπέστη καὶ τῶν ποδῶν αὐτοῦ ἥπτετο. καὶ λαβομένη αὐτοῦ ἠρέμα τοῦ κρασπέδου εἷλκεν ἐπὶ τὸ οἰκεῖον σπήλαιον. ὁ δὲ ἠκολούθει αὐτῇ λέγων· ‚τί ἄρα θέλει τὸ θηρίον τοῦτο ποιεῖν;‘ 16. ὡς δὲ ἤγαγεν αὐτὸν ἄχρι τοῦ ἑαυτῆς σπηλαίου, εἰσελθοῦσα ἐξάγει πρὸς αὐτὸν τοὺς ἑαυτῆς σκύμνους τυφλοὺς γεννηθέντας· ὁ δὲ ἐπευξάμενος θεωροῦντας τοὺς σκύμνους τῇ ὑαίνῃ ἀπέδωκεν. ἡ δὲ ὥσπερ δῶρον εὐχαριστήριον φέρουσα τῷ ἀνδρὶ δέρμα μέγιστον κριοῦ μεγάλου τοῖς ποσὶν αὐτοῦ παρέθηκεν. ὁ δὲ ἐπιγελάσας αὐτῇ ὡς εὐγνώμονι καὶ αἴσθησιν ἐχούσῃ λαβὼν ἑαυτῷ ὑπεστρώσατο· ὅπερ δέρμα μέχρι νῦν παρά τινι διασέσωσται.

---

3 ἄλλοτε κτλ.] Col. 1050 D 𝔡. **15** Cf. Col. 1060 B 𝔡.

$P^2P^1C^1LP^3$ a] **1** πρός] + τὸν C^1 | κύριον P^2 | **2** τοῦ > P^2 | μηκέτι] μὴ ἐκεῖ P^2 | **3** δὲ > P^2 | σταφυλῆς πεμφθείσης LP^3 𝔡 a | **4** τὴν] + αὐτοῦ P^2 | αὐτὰ LP^3, αὐτὴν 𝔡 | τινα ἀδελφὸν P^1C^1 | **5** σταφυλὴν LP^3 𝔡 a, σταφυλῶν P^2 | **6** αὐτοῦ $P^1C^1P^3$ | **7** αὐτὰς (αὐτὴν 𝔡) ἀδελφὸν LP^3 𝔡 | ὡσαύτως L, ὡσαύτος P^3 | ἀνόρεκτος P^1 | **8** δὲ] + πάλιν LP^3 𝔡 | βρῶμα > P^2LP^3 | ταὐτὸ Schw., αὐτὸ P^2LP^3 | ὡσαύτος P^1, ὡσαύτως C^1 | πάλιν > LP^3 𝔡 | πεποίηκεν 𝔡 | καὶ αὐτὸς *nach* 9 ποθῶν P^2L 𝔡, *nach* λίαν P^3 | **9** ποθῶν] + τούτων P^2, > P^3 | εἰς] πρὸς P^2 | σταφυ[λ]αί *a. Ras.* P^3 | **10** αὐτῶν βουληθέντος P^2 | αὐτὰς] πάλιν LP^3 | **11** πρός] + τὸν P^2 | Μακάριον] + αὐτὰς P^1, πάλιν αὐτὰς C^1, ταύτας P^2, πάλιν 𝔡 | ἐξαπέστειλεν P^1C^1 | αὐτῷ > P^1C^1 | **12** εὐχαριστήσας P^2 | **13** θεῷ P^1 | αὐτῶν²] ἑαυτῶν L | τέως 𝔡 | **15** ἄλλοτε — S. 90,8 μεταβληθεῖσαν > s | δὲ > P^2 | φησὶ P^2LP^3 | **16** ἄλλοτε δὲ LP^3 | ὑαίνη P^1 | ἐτύγχανε πλησίον P^2 | εὐχομένῳ αὐτῷ P^2 | **17** λαβομένης LP^3 | αὐτῷ P^2 | **18** εἷλκεν *nach* σπήλαιον P^2 | **20** πρὸς αὐτὸν > P^1 | **21** εὐξάμενος P^2 | βλέποντας C^1 | **22** τοὺς σκύμνους] αὐτοὺς P^2 | χαριστήριον LP^3 | **25** ὑπέστρωσεν C^1 | μέχρι] μέγιστον τοῦτο P^2; + τοῦ P^1C^1 | τινος L | διασώζεται P^1C^1. |

Digitized by Google

17. Φασὶ δὲ αὐτὸν κακούργου τινὸς παρθενεύουσαν κόρην μαγείαις τισὶν εἰς φοράδα μεταβαλόντος καὶ τῶν γονέων αὐτῆς ταύτην αὐτῷ προσαγαγόντων καὶ δεηθέντων αὐτοῦ, εἰ βουληθείη ταύτῃ εὐξάμενος μεταβαλεῖν εἰς γυναῖκα, ἐπὶ ἑπτὰ ἡμέρας ἐγκλείσας αὐτὴν καταμόνας τῶν γονέων αὐτῇ παραμενόντων, αὐτὸς εἰς ἕτερον κέλλιον τῇ δεήσει ἐσχόλαζεν. τῇ δὲ ἑβδόμῃ ἡμέρᾳ εἰσελθὼν μετὰ τῶν γονέων ἤλειψεν αὐτὴν ὅλην ἐλαίῳ καὶ κλίνας τὰ γόνατα ηὔξατο σὺν αὐτοῖς καὶ ἀναστάντες εὗρον αὐτὴν εἰς κόρην μεταβληθεῖσαν.

XXIX. Περὶ Ἀμμοῦν·

1. Ἦν δέ τις πρὸ τούτου ἐν ταῖς Νιτρίαις, Ἀμμοῦν ὀνόματι, οὗ τὴν ψυχὴν ἀναλαμβανομένην εἶδεν ὁ Ἀντώνιος. οὗτος πρῶτος τῶν μοναχῶν τὰς Νιτρίας κατείληφεν, εὐγενὴς μὲν ὑπάρχων καὶ πλουσίους ἔχων γεννήτορας, οἳ καὶ ἠνάγκαζον αὐτὸν γῆμαι μὴ βουλόμενον. ὡς δὲ αὐτῷ τὴν ἀνάγκην ἐπέθηκαν, πείθει τὴν κόρην ἐν τῷ θαλάμῳ συμπαρθενεύειν αὐτῷ ἐν τῷ κρυπτῷ. 2. μετ' οὐ πολλὰς δὲ ἡμέρας ἐκεῖνος μὲν ἐπὶ τὰς Νιτρίας ἐξῄει, ἐκείνη δὲ τὴν οἰκετίαν πᾶσαν πρὸς παρθενείαν προεκαλεῖτο καὶ δὴ τὸν οἶκον αὐτῆς μοναστήριον κατεσκεύασεν.

3. Μόνου οὖν αὐτοῦ ἐν ταῖς Νιτρίαις ὑπάρχοντος φέρουσι παῖδα λυσσῶντα πρὸς αὐτὸν ἁλύσεσι δεδεμένον. λυσσομανὴς γὰρ αὐτὸν δήξας κύων ἐκείνῳ τὴν λύσσαν μετέδωκεν. ἐσπάραττεν οὖν ἑαυτὸν ὅλον ἀφόρη-

1 Cf. Col. 1059 D *δ*. **9** C. 30 r. Cf. Pallad., h. Laus. c. 8. Sozom., h. e. I 14,1—8. **11** Cf. Athanasius, Vita Ant. 60 (MSG 26,929).
18 Cf. Sozom., h. e. I 14,6: ἄδικοι πατέρες ὑπὸ κυνὸς λυσσῶντος ἴδιον παῖδα δηχθέντα καὶ ὅσον οὔπω ἀπολέσθαι προσδοκώμενον ἤγαγον ὡς αὐτόν· καὶ ὀλοφυρόμενοι ἐδέοντο αὐτοῦ θεραπεῦσαι τὸν υἱόν. ὁ δὲ πρὸς αὐτούς· ,ἀλλ' οὐδέν', ἔφη, ,δεῖται τῆς παρ' ἐμοῦ θεραπείας· ὑμεῖς δὲ εἰ βούλεσθε τὸν βοῦν, ὃν κεκλόφατε, ἀποδοῦναι τοῖς δεσπόταις, αὐτίκα ἰαθήσεται'. ὃ καὶ συνέβη. ἅμα γὰρ ὁ βοῦς ἀπεδόθη καὶ τὸ πάθος τὸν παῖδα ἀπέλιπεν.

$P^2P^1C^1LP^3$ a] **1** αὐτὸν] ὅτι P^2 | τινὲς κακοῦργοι $P^2P^1C^1$ | παρθενεύουσαν > P^2 | κόρην] + τινα P^2 | **2** τισὶν > P^2 | μεταβαλλόντος L, μεταβάλλοντος P^3, μετέβαλον P^2 | γονέων] οἰκείων P^2 | αὐτῆς] αὐτῇ P^2 | ταύτην > $P^2P^1C^1$ | αὐτῷ] τῷ μακαρίῳ $P^2P^1C^1$ | **3** αὐτοῦ] αὐτὸν P^1, αὐτῶ C^1 | εἰ βουληθείη > P^1 | ταύτην $P^2P^1C^1$ | εὐξάμενον P^1 | **4** ἐπὶ > P^1C^1 | ἐγκατακλείσας P^1 | αὐτῆι L | **5** συγγενῶν P^2 | αὐτῇ] αὐτῆς P^2 | αὐτός] αὐτὸν δὲ LP^3 | σχολάζειν LP^3 | **6** δὲ > LP^3 | ἐλθὼν P^2, εἰσελθόντα L, εἰσελθότα P^3 | ἀλείψας LP^3 | **7** ἀναστὰς LP^3 | εὗρεν LP^3. |

9 $P^2P^1C^1LP^3$ r s] περὶ] + ἀββᾶ LP^3 | ἀμοῦν P^3 | **10** [πρω]τούτου *a. Ras. v. m. 2?* P^1 | ἀμοῦν C^1 | **11** εἶδεν ἀναλαμβανομένην P^2 | ὁ > C^1 | **12** τὴν νητρίαν P^2 | συγγενὴς LP^3 | **13** γῆμαι] γυναικὶ συζευχθῆναι καὶ P^2 | τ. ἀνάγκην αὐτῶ P^2 | **14** ἐπέθεσαν P^1C^1, ἐπετίθεσαν συζεύγνυνται P^2 | πείθην, η *su* ει *corr.* P^3 | ἐν τ. θαλάμῳ > P^2 | αὐτῷ] αὐτὴν L | **15** τὴν νητρίαν P^2 | **16** ἐξίη P^1C^1, ἔξεισιν LP^3 | οἰκίαν C^1 | προσεκαλεῖτο P^2, ἐξεκαλεῖτο P^1 | **18** τῇ νητρία P^2 | διάγοντος LP^3 | φέρουσι] + αὐτῶι P^1, πρὸς αὐτὸν P^2 | **19** πρὸς αὐτὸν > P^2P^1 | ἁλύσει P^2P^1 | λυσσόμενος LP^3 | **20** τῆς λύσσης P^2 | ἐπέδωκεν L | αὐτὸν P^2. |

Digitized by Google

τον ἔχων τὸ πάθος. 4. ὡς οὖν εἶδεν αὐτοῦ τοὺς γονεῖς πρὸς τὴν ἱκεσίαν χωροῦντας· ‚τί μοι κόπους παρέχετε, φησίν, ὦ ἄνθρωποι, τὰ ὑπὲρ τὴν ἐμὴν ἀξίαν ἐπιζητοῦντες, ἔχοντες ἐν χερσὶ τὸ βοήθημα; ἀπόδοτε γὰρ τῇ χήρᾳ τὸν βοῦν, ὃν λαθραίως αὐτῆς ἀπεκτείνατε, καὶ ὑγιὴς ὑμῖν ὁ παῖς ἀποδοθήσεται.‘ οἱ δὲ ὡς ἐλέγχθησαν καὶ δὴ χαίροντες ἐποίουν τὰ προσταχθέντα, ὁ παῖς εὐθὺς εὐξαμένου αὐτοῦ ὑγίανεν.

5. Ἄλλοτε δὲ παρῆσαν πρὸς αὐτόν τινες ἐπισκέψεως ἕνεκα, πρὸς οὓς δοκιμάζων τὴν γνώμην ὁ ἀνὴρ εἶπε· ‚πίθον μοι ἕνα κομίσατε, ἵνα ἔχω ὕδωρ ἱκανὸν πρὸς ὑποδοχὴν τῶν ἐρχομένων.‘ ἐπαγγειλαμένων δὲ αὐτῶν ἐνεγκεῖν μεταμεληθεὶς ὁ ἕτερος παραγενόμενος εἰς τὴν κώμην λέγει τῷ ἑταίρῳ· ‚οὐκ ἀποκτενῶ μου τὴν κάμηλον, οὐδὲ ἐπιτίθημι, φησί, τὸν πίθον εἰς αὐτήν, ἵνα μὴ ἀποθάνῃ.‘ 6. ἀκούσας δὲ ταῦτα ὁ ἄλλος τὰς οἰκείας ὄνους ὑποζεύξας πολλῷ καμάτῳ τὸν πίθον ἀπήνεγκεν. προσλαβὼν δὲ αὐτὸν ὁ Ἀμμοῦν εἶπε· ‚τί, ὅτι ἡ κάμηλος τοῦ ἑταίρου σου τέθνηκεν, ἕως σὺ ἐνταῦθα παραγέγονας;‘ ὁ δὲ ὑποστρέψας εὗρεν αὐτὴν ὑπὸ λύκων βεβρωμένην.

7. Πολλά τε καὶ ἄλλα θαυμάσια ὁ ἀνὴρ διεπράξατο. ἦλθον δέ ποτε μοναχοί τινες πρὸς αὐτὸν παρὰ Ἀντωνίου ἀποσταλέντες καὶ φωνοῦντες αὐτόν· ἦν γὰρ ἐν τῇ ἐσωτέρᾳ ἐρήμῳ ὁ Ἀντώνιος. ὡς δὲ ἀπῄεσαν πρὸς αὐτόν, διῶρύξ τις τοῦ Νείλου εὕρηται μέση. οἱ δὲ ἀδελφοὶ ἐξαίφνης εἶδον αὐτὸν μετατεθέντα ἐν τῷ πέραν, αὐτοὶ κολύμβῳ διαπεράσαντες. 8. ἐπειδὴ δὲ πρὸς Ἀντώνιον παρεγένοντο, πρῶτος Ἀντώνιος λέγει πρὸς αὐτόν· ‚τοῦ θεοῦ μοι περί σου πολλὰ ἀποκαλύψαντος καὶ τὴν μετάθεσίν σου δηλώσαντος, ἀναγκαῖόν σε πρὸς ἐμαυτὸν προσεκαλεσάμην, ἵνα ἀλλήλων ἀπολαύσαντες ὑπὲρ ἀλλήλων πρεσβεύσωμεν.‘ 9. τάξας δὲ αὐτὸν ἔν τινι τόπῳ κεχωρισμένῳ μακρὰν μὴ ἀναχωρεῖν ἐκεῖθεν ἄχρι τῆς μεταθέσεως προε-

---

$P^2P^1C^1LP^3$ r s] **1** τὸ πάθος ἔχοντα P^2 | γονεῖς] + ὁ θαυμάσιος ἀνὴρ P^2 | τὴν > P^2 | **2** χωροῦντας] + εἶπε P^2 | φησὶν > P^2 | **3** ζητοῦντες LP^3 | γὰρ] οὖν P^2 | **4** τὴν χήρα L, τῆ χεῖρα P^3 | αὐτῆς > P^2 | ἀπεκτείνατε] furati estis r *cf.* Sozom. | **5** ἠλέγχθησαν, η[1] *s. l.* P^3 | καὶ δὴ > P^2 | τὸ προσταχθὲν ἐποίουν P^2 | **6** τοῦ παιδὸς P^1C^1 | ὁ — ὑγίανεν] καὶ εὐξαμένου αὐτοῦ ὁ παῖς ὑγιὴς ἐγένετο P^2 | ὑγίειαν εἰληφότος P^1, ὑγιάνοντος C^1 | **7** τινες πρὸς αὐτὸν P^1C^1 | πρὸς οὓς] ὧν τινων P^2 | **8** ὁ ἀνὴρ τὴν γνώμην αὐτῶν LP^3 | τὴν γνώμην δοκιμάζων P^2 | ἔφη P^2 | **9** ἐπαγγελαμένων P^2 | **10** αὐτῷ C^1 | μεταβληθεὶς LP^3 | ἕτερος > P^1 | εἰσπαραγενόμενος P^1 | **11** ἑταίρῳ s, ἑτέρῳ O | φησὶ > $P^2P^1C^1$ | **12** εἰς αὐτὴν] αὐτῇ LP^3 | δὲ > C^1 | **13** ὑποζεύξας ὄνους P^2P^3 | ὑποζευξάμενος P^1C^1 | προσλαβὼν *scripsi*, προλαβὼν O | **14** αὐτὸν > P^2 | εἶπε] + πρὸς αὐτὸν P^2 | ἡ > P^2 | ἑταίρου s, ἑτέρου O | **15** σὺ] οὗ P^3 | παραγέγονας ἐνταῦθα LP^3 | **16** ἐσπαραγμένην LP^3 | **17** θαύματα P^2 | πατὴρ P^2 | ἐπεδείξατο P^1C^1 | ἦλθον — S. 92,2 οὐρανὸν > s | **18** τινες μοναχοὶ P^1C^1 | τινες > P^2 | **19** αὐτὸν] αὐτῷ P^2 | ἐρήμῳ *m. 2 i. mg.* C^1 | **20** ηὕρετο P^3 | μέσον P^2P^1 | δὲ] οὖν P^2 | **21** πέρατι $P^2C^1LP^3$ | αὐτοὶ γὰρ P^1C^1 | διεπέρασαν P^1C^1 | ἐπεὶ LP^3 | **22** πρὸς τὸν P^2 | πρῶτος ὁ P^1C^1 | Ἀντώνιος] αὐτὸς P^2 | εἶπε P^2 | αὐτόν] τὸν ἀμμοῦν P^2 | **23** μου C^1P^3 | μοι *nach* πολλὰ LP^3 | πολλὰ > P^2 | ἀποκ[α]λύψαντος *a. Ras.* C^1 | δηλώσαντος] ἤδη γνωρίσαντος P^2 | **24** ἀναγκαίως P^1C^1 | μετεκαλεσάμην LP^3, ἐκάλεσα P^2 | **25** τόπῳ τινὶ P^1C^1. |

τρέψατο. τελειωθέντος δὲ αὐτοῦ καταμόνας εἶδεν αὐτοῦ τὴν ψυχὴν ἀναλαμβανομένην ὑπὸ ἀγγέλων εἰς τὸν οὐρανόν.

XXX. Περὶ Μακαρίου τοῦ πολιτικοῦ.

1. Ἄλλον δὲ φασὶ Μακάριον γεγενῆσθαι, ὃς εἰς τὴν Σκῆτιν πρῶτος μοναστήριον ἔπηξεν. ἐστὶ δὲ καὶ ὁ τόπος ἔρημος, νυχθήμερον τῆς Νιτρίας ἀπέχων τῷ διαστήματι ἐπὶ τὴν ἔρημον καὶ κίνδυνος μέγας ἐστὶ τοῖς ἀπιοῦσιν· ἂν γὰρ μικρὸν σφαλῇ τις, πλάζεται κατὰ τὴν ἔρημον κινδυνεύων. εἰσὶ δὲ ἐκεῖ πάντες τέλειοι ἄνδρες· οὐδεὶς γὰρ ἀτελὴς ἐν ἐκείνῳ τῷ τόπῳ δύναται παραμεῖναι ἀγρίου ὄντος καὶ ἀπαραμυθήτου πάντων τῶν ἐπιτηδείων. 2. ὁ οὖν προρρηθεὶς οὗτος ἀνὴρ Μακάριος πολιτικὸς ὑπάρχων συνήφθη ποτὲ τῷ μεγάλῳ Μακαρίῳ καὶ ὡς ἔμελλον διαπορθμεύειν τὸν Νεῖλον, συνέβη εἰσελθεῖν αὐτοὺς εἰς πορθμεῖον μέγιστον, ἐν ᾧ τριβοῦνοί τινες δύο μετὰ πολλοῦ κόμπου εἰσεληλύθεισαν, ῥαίδιον ἔχοντες ὁλόχαλκον καὶ χρυσοχαλίνους ἵππους καὶ δορυφόρους τινὰς στρατιώτας καὶ κλοιοφόρους παῖδας χρυσοζώνους τινάς. 3. ὡς οὖν εἶδον τοὺς μοναχοὺς οἱ τριβοῦνοι ῥάκη παλαιὰ ἐνδεδυμένους καὶ καθημένους εἰς τὴν γωνίαν, ἐμακάριζον αὐτῶν τὴν εὐτέλειαν. εἷς δὲ ἐξ αὐτῶν τῶν τριβούνων ἔφη πρὸς αὐτούς· ‚μακάριοι ἐστὲ ὑμεῖς οἱ τῷ κόσμῳ ἐμπαίξαντες.' 4. ἀποκριθεὶς δὲ ὁ πολιτικὸς Μακάριος εἶπε πρὸς αὐτόν· ‚ἡμεῖς μὲν τῷ κόσμῳ ἐνεπαίξαμεν, ὑμῖν δὲ ὁ κόσμος ἐμπαίζει. γίνωσκε δὲ ὅτι οὐχ ἑκών, ἀλλ' ἐκ προφητείας τοῦτο εἴρηκας. ἀμφότεροι γὰρ »Μακάριοι« καλούμεθα.' ὁ δὲ κατανυγεὶς ἐπὶ τῷ λόγῳ ἀπελθὼν οἴκαδε ἀπεδύσατο τὰ ἱμάτια καὶ μονάζειν ἤρξατο ποιήσας πολλὰς ἐλεημοσύνας.

XXXI. Περὶ Παύλου τοῦ ἁπλοῦ.

1. Γέγονε δέ τις Παῦλος μαθητὴς Ἀντωνίου, ὀνόματι ἁπλοῦς λεγόμενος. οὗτος τὴν ἑαυτοῦ γαμετὴν ἐπ' αὐτοφώρῳ καταλαβὼν μοιχευομένην

3 Cf. c. 29 r. c. 20 ẟ. **10** οὗτος] Col. 1050 C ẟ. Cf. *Rosweyd*, Vitae Patrum VI 2,15 p. 656. **24** Cf. c. 31 r, c. 28 ẟ; Sozom., h. e. I 13.13.14.

P²P¹C¹LP³ r s] **1** αὐτοῦ > P²C¹ | τὴν αὐτοῦ ψυχὴν P² | ψυχὴν] + ὁ Ἀντώνιος LP³ | ὑπὸ ἀγγέλων ἀναλαμβανομένην C¹. |

3 P²P¹C¹L (ẟ)] περὶ] + τοῦ ἁγίου P², ἀββᾶ LP³ | τοῦ πολιτικοῦ > P² | **4** φασὶ] φησὶν C¹, > P¹ | τὸ σκητῖον L | **5** ἔκτισεν P² | καὶ > P¹C¹ | **6** καὶ — **7** ἔρημον > L | ἐστὶ μέγας P² | **8** ἐν > L | δύναται τῷ τόπῳ ἐκείνῳ P² | **9** ἀγρίῳ ὄντι P² | ἀπαραμυθήτῳ P² | **10** ἀνὴρ οὗτος L | ἀνὴρ *vor* πολιτικὸς P² | **12** αὐτὸς C¹ | **13** δύο τινὲς L | δύο > ẟ | κόπου P² | εἰσεληλύθασιν P²L | ἔχοντες] + ἔσω P²L | **15** παῖδας] + τε καὶ P², καὶ L | τινάς > P²P¹ | **16** καὶ καθημένους > L | **17** τῶν > P² | τριβοῦνος P² | **19** μακάριος ὁ πολιτικὸς P² | αὐτοὺς P²P¹ ẟ | ἐπαίξαμεν L | **20** ὑμῖν *aus* ἡμῖν L | ἐνέπαιξεν P²C¹ ẟ, ἐναίπεξε P¹ | οὐκ P¹C¹L | **21** προφητεύων ẟ | **22** κατανυχθεὶς C¹ ẟ | οἴκοι C¹ ẟ | ἱμάτια αὐτοῦ P² | **23** ἠρετίσατο P² Schw., ἠρετήσατο C¹, ἠρήσατο ẟ. |

24 P²C¹P⁴LP³ (ẟ) r] περὶ] + ἀββᾶ LP³ | τοῦ ἁπλοῦ > C¹P⁴ | ἁπλοῦ] + μαθητοῦ τοῦ ἁγίου ἀντωνίου LP³ | ἁπλοῦ] *des.* P¹ | **25** μαθητὴς Ἀντωνίου > LP³ | Ἀντωνίου] + τοῦ μεγάλου P². |

Digitized by Google

μηδενὶ μηδὲν εἰπὼν ἐπὶ τὴν ἔρημον πρὸς Ἀντώνιον ὥρμησεν. καὶ προσπεσὼν αὐτοῦ τοῖς γόνασι παρεκάλει συνεῖναι αὐτῷ σωθῆναι βουλόμενος. ἔφη δὲ πρὸς αὐτὸν ὁ Ἀντώνιος· ‚δύνῃ σωθῆναι, ἐὰν ἔχῃς ὑπακοήν, καὶ ὅπερ ἂν παρ' ἐμοῦ ἀκούσῃς, τοῦτο ποιήσῃς.' ὁ δὲ Παῦλος ἀποκριθεὶς εἶπε· ‚πάντα ποιήσω ὅσαπερ ἂν προστάξῃς.' 2. δοκιμάζων δὲ αὐτοῦ τὴν γνώμην ὁ Ἀντώνιος λέγει πρὸς αὐτόν· ‚στῆθι καὶ πρόσευξαι ἐν τῷ τόπῳ τούτῳ, ἕως οὗ εἰσελθὼν ἐξενέγκω σοι ἔργον, ὅπερ ἐργάσῃ·' καὶ εἰσελθὼν εἰς τὸ σπήλαιον προσεῖχεν αὐτῷ διὰ θυρίδος, ἀκινήτου μένοντος ἐκ τοῦ τόπου ὅλην τὴν ἑβδομάδα ὑπὸ καύματος φρυγομένου. 3. ἐξελθὼν δὲ μετὰ τὴν ἑβδομάδα εἶπε πρὸς αὐτόν· ‚δεῦρο, μετάλαβε τῆς τροφῆς.' ὡς δὲ παρέθηκε τράπεζαν καὶ τὰ σιτία· ‚κάθισον, φησί, καὶ μὴ φάγῃς ἕως ἑσπέρας, ἀλλὰ πρόσεχε μόνον τοῖς ἐδωδίμοις.' 4. ἑσπέρας δὲ γενομένης καὶ τοῦ Παύλου μὴ βεβρωκότος λέγει πρὸς αὐτὸν ὁ Ἀντώνιος· ‚ἀναστὰς εὖξαι καὶ κάθευδε.' ὁ δὲ καταλιπὼν τὴν τράπεζαν ἐποίησεν οὕτως. μεσαζούσης δὲ τῆς νυκτὸς ἐγείρας αὐτὸν εἰς προσευχήν, ἄχρις ἐνάτης ὥρας ἡμερινῆς παρέτεινε τὰς εὐχάς. παραθεὶς δὲ πάλιν τράπεζαν ἐκέλευσεν αὐτὸν μεταλαβεῖν. 5. ὡς δὲ μόνον τρίτον τὸν ἄρτον τῷ στόματι προσενήνοχεν, ἀναστῆναι προστάξας αὐτῷ καὶ ὕδατος μὴ ἅπτεσθαι ἔπεμπεν εἰς τὴν ἔρημον περιάγειν λέγων αὐτῷ· ‚μετὰ τρεῖς ἡμέρας ἧκε ἐνταῦθα.' 6. τούτου δὲ γενομένου καὶ ἀδελφῶν τινων πρὸς αὐτὸν ἐληλυθότων προσεῖχεν ὁ Παῦλος τῷ Ἀντωνίῳ, τί κελεύοι αὐτὸν ἐργάσασθαι. εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἀντώνιος· ‚σιωπῶν διακόνησον τοῖς ἀδελφοῖς καὶ μηδενὸς γεύσῃ, ἄχρις ἂν οἱ ἀδελφοὶ ὁδεύσωσιν.' 7. ὡς δὲ λοιπὸν τρίτη ἑβδομὰς ἐπληρώθη μὴ βεβρωκότος τοῦ Παύλου, οἱ ἀδελφοὶ ἠρώτων αὐτόν· ‚τίνος ἕνεκεν σιωπᾷς;' τοῦ δὲ μὴ ἀποκρινομένου λέγει πρὸς αὐτὸν ὁ Ἀντώνιος· ‚τί σιωπᾷς; ὁμίλησον τοῖς ἀδελφοῖς.' ὁ δὲ ὡμίλησεν.

3 ἔφη κτλ.] Col. 1081 B 𝔡. **10** εἶπε κτλ.] Col. 1082 A 𝔡.
18 ἔπεμπεν κτλ.] Col. 1082 B ende 𝔡.

$P^2C^1P^4LP^3$ (𝔡) r] **1** ἐπὶ τ. ἔρημον *nach* Ἀντώνιον P^2 | πρὸς τὸν P^2 | ὥρμησε] κατέλαβε P^2 | **2** αὐτοῦ *nach* (γόνασι) P^2 | ποσὶ P^2LP^3 | **3** δὲ > P^4 𝔡 | **4** τοῦτο καὶ P^2 | ποιεῖς P^3 | **5** προστάξῃς μοι P^2 | **6** ἔφη P^2 𝔡, εἴρηκεν C^1, ἐρεῖ P^4 | **7** ἕως οὗ] ὅπως C^1 | οὗ] ἂν P^2, > P^4 𝔡 | ἐξελθὼν P^4 | ὅπερ] + ἂν LP^3 | **8** διὰ τῆς P^2 | ἀκινήτω μένοντι P^2 𝔡 | ἐν τῷ τόπω P^4 𝔡 | **9** φρυγόμενος C^1P^4, φρυγομένω P^2 𝔡 | **10** τῆς > P^2C^1 | καὶ ὡς (> δὲ) L | **11** σιτᾶ L, σιτά P^3 | σιτία] + λέγει αὐτῷ P^2 | φησὶ > P^2 | ἄχρις P^2LP^3 | **12** τοῖς ἐδωδίμοις μόνον P^2 | **13** ἀνάστα P^2LP^3 | **14** ὡσαύτως P^4 𝔡 | μεσούσης P^2 | **15** ἐγείρει C^1P^4 | **16** ἡμερινῆς > P^2 | παρατείνας C^1P^4 | τράπεζαν πάλιν C^1P^4 | **17** μόνον > LP^3 | τ. ἄρτον τρίτον C^1 | τὸν ἄ. τῷ στόματι > P^2 | προσενήνοχεν] + τὴν τροφὴν P^2 | **18** αὐτῷ > P^2 | ὕδωρ C^1 | ἅψασθαι P^2 | ἔπεμπεν αὐτὸν 𝔡 | **19** αὐτῷ] αὐτὸν L | ἐλθὲ P^2 | **21** κελεύει P^2LP^3 | **24** ἠρώτων οἱ ἀδελφοὶ P^2 | **25** σιωπᾷ $P^2C^1P^4$ | ἀποκριναμένου C^1 | πρὸς αὐτὸν] αὐτῷ P^2 | Ἀντώνιος] *von hier an ist* P^3 *stellenweise so beschädigt, dass sein Text nicht mehr überall mit Sicherheit zu lesen ist* | **26** σιωπᾷ P^3 | δὲ] + εὐθὺς P^2 | ὡμίλησεν] + αὐτοῖς P^2. |

Digitized by Google

8. Ἄλλοτε δὲ στάμνου μέλιτος αὐτῷ ἐνεχθέντος εἶπεν ὁ Ἀντώνιος πρὸς αὐτόν· ‚κλάσον τὸ ἀγγεῖον καὶ ἐκχυθήτω τὸ μέλι.‘ ἐποίησε δὲ οὕτως. καὶ λέγει αὐτῷ· ‚σύναξον πάλιν τὸ μέλι μυακίῳ ἄνωθεν, ἵνα μὴ ῥυπαρίαν τινὰ συνεισενέγκῃς.‘ 9. καὶ πάλιν ἀντλεῖν ὕδωρ προσέταξε πᾶσαν ἡμέραν. καὶ διδάξας αὐτὸν σπυρίδας πλέκειν μεθ’ ἡμέρας τινὰς κελεύει πάσας αὐτὸν ἀναλύειν τὰς σπυρίδας. καὶ παραλύσας αὐτοῦ τὸ σωμάτιον ἐκέλευσε ῥάπτειν καὶ πάλιν παρέλυε καὶ πάλιν ἐκεῖνος ἔρραπτεν. 10. καὶ τοσαύτην ὁ ἀνὴρ ἐκτήσατο ὑπακοήν, ὥστε καὶ χάριν αὐτῷ δεδόσθαι θεόθεν τὴν κατὰ τῶν δαιμόνων ἐλασίαν. οὓς γὰρ οὐκ ἐδύνατο ὁ μακάριος Ἀντώνιος ἐκβαλεῖν δαίμονας, τούτους πρὸς Παῦλον ἀπέστελλε καὶ αὔθωρον ἐξεβάλλοντο.

XXXII. Περὶ Πιάμμονος πρεσβυτέρου.

1. Ἐστὶ δὲ καὶ ἄλλη ἔρημος ἐν Αἰγύπτῳ παράλιος μὲν οὖσα, ἀλλὰ χαλεπωτάτη, ἐν ᾗ πολλοὶ καὶ μεγάλοι ἀναχωρηταὶ κατοικοῦσι, πλησίον ὑπάρχουσα τῆς Διόλκου πόλεως.

2. Εἴδομεν δὲ ἐκεῖ πρεσβύτερον, ἄνδρα ἅγιον καὶ λίαν ταπεινόφρονα, ὀπτασίας συνεχῶς ὁρῶντα, ὀνόματι Πιάμμονα. οὗτος προσφέρων ἅπαξ τῷ θεῷ τὰς λατρείας ὁρᾷ ἄγγελον ἐκ δεξιῶν ἑστῶτα τοῦ θυσιαστηρίου καὶ τοὺς προσερχομένους τῇ χάριτι ἀδελφοὺς σημειούμενον καὶ γράφοντα αὐτῶν τὰ ὀνόματα ἐν βιβλίῳ. μὴ παραγινομένων δέ τινων ἐν τῇ συνάξει

---

1 ἄλλοτε κτλ.] Col. 1082 C mitte *ð*. **12** C. 32 r, c. 72 *ð*. Cf. Sozom., h. e. VI 29,7: καὶ Πιάμμων δὲ καὶ Ἰωάννης τηνικαῦτα περὶ Δίολκον τῆς Αἰγύπτου ἐπισημοτάτων προΐσταντο μοναστηρίων. ἐπιμελέστατά τε καὶ μάλα σεμνῶς πρεσβύτεροι ὄντες τὴν ἱερατείαν μετῄεσαν. λέγεται δέ ποτε τὸν Πιάμμωνα ἱερώμενον θεάσασθαι περὶ τὴν ἱερὰν τράπεζαν θεῖον ἄγγελον ἑστῶτα, καὶ τῶν μοναχῶν τοὺς παρόντας ἐγγράφειν βίβλῳ τινί, τοὺς δὲ ἀπόντας ἀπαλείφειν.

$P^2C^1P^4LP^3$ (*ð*) r] **2** ὡς δὲ ἐποίησεν P^2 | **3** καὶ > P^2 | αὐτῷ] πρὸς αὐτὸν LP^3 | μυάκιον P^3 | **4** εἰσενέγκῃς P^4 | ἀντλεῖν] + αὐτὸν C^1 | ὕδωρ] + αὐτῷ P^3 | πᾶσαν] αὐτὸν ὅλην τὴν P^2 | **5** καὶ — σπυρίδας > *ð* | σπυρίδια P^2 | κελεύσας C^1P^4 | αὐτῷ πάσας P^2 | **6** τὰς σπυρίδας καὶ > C^1P^4 | παραλύσας δὲ (> καὶ) P^2 | αὐτοῦ καὶ P^2 | ἱμάτιον P^2LP^3 *ð* | **7** καὶ^1 — ἔρραπτεν] ἐκεῖνος P^2 | καὶ πάλιν παρέλυε > *ð* | παρέλυσεν P^4, παραλύσας C^1 | καὶ^2 > C^1 | πάλιν^2 > C^1 | καὶ^3 > P^2 | τοσαύτην] + οὖν P^2 | **8** τὴν ὑπακοὴν P^2 | καὶ > P^2C^1 | αὐτὸν L | δοθῆναι LP^3 | **9** τῆι … ἐλασίαι L | **10** ἐκβάλλειν P^2P^4 | πρὸς τὸν P^2. |

12 $P^2P^5C^1LP^6$ *ð* r s, (P^4 *trägt das Cap. nach dem* ἐπίλογος *nach*)] πιάμονος (+ τοῦ) P^5, Piammone r, Philemon s (*innersyr. Corruptel*), ἀμμωνᾶ *rell.* | πρεσβυτέρου > C^1 s | *die Überschrift fehlt bei* P^2 | **13** ἐστὶ — 15 πόλεως > s | ἐν τῇ P^2 | μένουσα P^4 | οὖσα ἀλλὰ > P^6 | **14** μεγάλοι] ἄλλοι P^2 | **15** διόλκου P^2L, διόλκῳ *rell.* | **16** ἐκεῖ] καὶ P^6 | πατέρα P^4 | ἅγιον καὶ > P^2 | λίαν] + μέγα C^1, μέγαν P^4 | ταπεινόφρονα] + καὶ $P^5C^1P^4$ | **17** ὀπτασίας] + ἀγγελικὰς P^5 | ὀπτασίας — ὁρῶντα > P^2 | πιάμονα P^5, ἀμμωνᾶν $P^2P^4P^6$, ἀμμωνᾶ C^1L | τῷ θεῷ ἅπαξ $P^2C^1P^4$ | ἅ//παξ (*1 Bst. ausr.*) C^1, *dafür* ποτε P^5 r | **18** ἑστῶτα ἐκ δεξιῶν C^1P^4 *ð* | **19** τῇ χάριτι > P^5 | ἀδελφοὺς] + τοῖς μυστηρίοις P^5 | **20** τὰ ὀνόματα αὐτῶν LP^6 | βίβλῳ P^6 | παραγενομένων $P^5C^1P^4$ *ð* | τῇ > *ð*. |

Digitized by Google

εἶδεν τὰ ὀνόματα αὐτῶν ἀπαλειφόμενα· οἳ μετὰ δεκατρεῖς ἡμέρας ἐτελεύτησαν. 3. τοῦτον πολλάκις οἱ δαίμονες βασανίσαντες ἀσθενείᾳ περιέβαλον, ὡς μὴ δύνασθαι αὐτὸν στῆναι ἐν τῷ θυσιαστηρίῳ μηδὲ προσφέρειν. ἄγγελος δὲ ἐλθὼν καὶ λαβόμενος αὐτοῦ τῆς χειρὸς ἐνεδυνάμωσε αὐτὸν παραχρῆμα καὶ ὑγιῆ τῷ θυσιαστηρίῳ παρέστησεν. οὗ τὰς βασάνους οἱ ἀδελφοὶ θεασάμενοι ἐξεπλάγησαν.

XXXIII. Περὶ Ἰωάννου.

Εἴδομεν δὲ καὶ ἄλλον Ἰωάννην ἐν Διόλκῳ, πατέρα μοναστηρίων καὶ αὐτὸν πολλὴν χάριν ἔχοντα τό τε Ἀβραμιαῖον σχῆμα καὶ τὸν πώγωνα Ἀαρών, δυνάμεις τε καὶ ἰάσεις ἐπιτελέσαντα καὶ πολλοὺς παραλυτικοὺς καὶ ποδαλγοὺς θεραπεύσαντα.

XXXIV. Ἐπίλογος.

1. Εἴδομεν δὲ καὶ ἄλλους πολλοὺς πατέρας καὶ μοναχοὺς κατὰ πᾶσαν τὴν Αἴγυπτον πολλὰς δυνάμεις καὶ σημεῖα ἐπιτελοῦντας, ὧν διὰ τὸ πλῆθος οὐκ ἐμνημονεύσαμεν, ἀλλὰ ὀλίγα ἀντὶ πολλῶν διηγησάμεθα. τί γὰρ ἄν τις εἴποι περὶ τῆς ἄνω Θηβαΐδος τῆς κατὰ Συήνην, ἐν ᾗ θαυμασιώτεροι ἄνδρες τυγχάνουσι καὶ πλῆθος μοναχῶν ἄπειρον; ὧν οὐκ ἄν τις πιστεύσειε τὰς πολιτείας ὑπὲρ ἀνθρωπίνην ζωὴν ὑπαρχούσας. 2. οἳ καὶ νεκροὺς μέχρι σήμερον ἀνιστῶσι καὶ τῶν ὑδάτων ἐπιβαίνουσιν ὥσπερ ὁ Πέτρος. καὶ πᾶν ὅ τι ὁ σωτὴρ διὰ τῶν ἁγίων ἐπετέλεσε, ταῦτα καὶ νῦν δι᾽ αὐτῶν ἐπιτελεῖ.

---

7 C. 23 r, c. 72 ϑ. Cf. Sozom., h. e. VI 29,8: Ἰωάννῃ δὲ τοσαύτην ἐδωρήσατο δύναμιν ὁ θεὸς κατὰ παθῶν καὶ νοσημάτων, ὡς πολλοὺς ἰάσασθαι ποδαλγοὺς καὶ τὰ ἄρθρα διαλελυμένους. **12** C. 24 r, c. 150, Col. 1254 D ϑ. **14** Cf. Act. 7,36 etc. **19** Cf. Mt. 14,25 ff.

$P^2P^5C^1LP^6$ ϑ r s, P^4] **1** τούτων P^5 | οἳ δὲ C^1P^4 ϑ | μετ᾽ ὀλίγας P^5 | **2** τοῦτον] + τίμιον πρεσβύτερον P^5 | βασανίσαντες] + τοσαύτῃ ϑ, πολλῇ s | **3** περιέβαλλον P^4LP^6 ϑ | στῆναι *nach* θυσιαστηρίῳ P^2P^5 | πρὸς τὸ θυσιαστήριον P^6 s | μήτε LP^6 ϑ | μηδὲ] καὶ τὰ θεῖα δῶρα P^2 | **5** αὐτὸν > LP^6 | καὶ παραχρῆμα P^2 | κατέστησεν P^5 | οὗ — 6 ἐξεπλάγησαν > P^5 | **6** θεασάμενοι οἱ ἀδελφοὶ $P^2C^1P^4$ ϑ. |

7 $P^2P^5C^1P^4LP^3P^6$ ϑ r s] περὶ] + ἀββᾶ $P^2P^4LP^3$ ϑ | *die Überschrift fehlt bei* P^2P^5 | **8** εἶδον P^6 | Ἰωάννην > P^2 | Dekapolis s | ἐν διόλκῳ ἰωάννην ὀνόματι P^5 | μοναχῶν s | **9** σχῆμα] εἶδος P^5 | **10** τὸν Ἀαρών C^1P^4 | τε > C^1 | ἐπιτελοῦντα P^5 | **11** ποδαγροὺς ϑ | θεραπεύοντα P^5. |

12 $P^2C^1P^4LP^3P^6$ ϑ r s] ἐπίλογος > C^1L | **13** ἄλλους] + μοναχοὺς C^1P^4 | πολλοὺς] + καὶ C^1P^4, > P^2 | καὶ μοναχοὺς > C^1P^4 | ἀδελφοὺς P^6 | **14** πολλὰ σημεῖα καὶ δυνάμεις LP^3 | **16** ἀνωτέρω P^6, ἀνωτέρας P^2 ϑ | ᾗ] + καὶ L | θαυμασιώτατοι C^1 ϑ, θαυμασιώτερον P^6 | **17** πιστεύσειέν τις C^1 | **18** τὴν πολιτείαν L, ταῖς πολιτείαις P^6 | πολιτείας] + τὰς C^1 | φύσιν s | ὑπάρχουσαν L, ὑπαρχούσαις P^6 | **19** μέχρι] + τῆς ϑ | ἐπιβαίνωσιν P^4 | **20** ὅ τι] + ἂν P^6 ϑ | ἁγίων] μαθητῶν P^2; + ἀποστόλων P^6 ϑ | ἐτέλεσεν P^4 | **21** νῦν] + τὰ αὐτὰ P^2 | δι᾽ αὐτῶν] διὰ τῶν μοναζόντων ἐν ἀληθείᾳ P^2; > ϑ. |

Digitized by Google

3. Ἀλλ' ἐπειδὴ κίνδυνος ἦν ἡμῖν μέγιστος περαιτέρω τῆς Λυκῶ ἀνελθεῖν διὰ τὴν τῶν λῃστῶν ἔφοδον, οὐκ ἐτολμήσαμεν τοὺς ἁγίους ἐκείνους ἰδεῖν. οὐδὲ γὰρ τοὺς προρρηθέντας πατέρας ἀκινδύνως εἴδομεν, οὐδὲ ἀπόνως οὐδὲ ἀμογητὶ τὰς ἱστορίας ταύτας ἑωράκαμεν· ἀλλὰ πολλὰ προπαθόντες καὶ μικροῦ δεῖν κινδυνεύσαντες μόλις κατηξιώθημεν ταῦτα θεάσασθαι. ἕβδομον γὰρ θάνατον ὑπέστημεν, ἐν δὲ τῷ ὀγδόῳ οὐχ ἥψατο ἡμῶν τι κακόν. 4. ἅπαξ μὲν γὰρ λιμῷ καὶ δίψει πέντε νυχθημέρας διὰ τῆς ἐρήμου περιπατήσαντες μικροῦ δεῖν ἐλιποψυχήσαμεν. 5. ἄλλοτε δὲ ὀξέσι καὶ τραχέσιν ἕλεσιν ἐμπεσόντες καὶ τοὺς πόδας ἑαυτῶν διατρήσαντες, ὡς ἀνυποίστους γενέσθαι τὰς ἀλγηδόνας, μικροῦ δεῖν ἀπεψύξαμεν. 6. τρίτον δὲ βορβόροις ἐνεπάγημεν μέχρι ὀσφύος, καὶ οὐκ ἦν ὁ ῥυόμενος καὶ τὰς τοῦ μακαρίου Δαβὶδ φωνὰς ἀνεβοῶμεν· σῶσόν με, ὁ θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου· ἐνεπάγην εἰς ἰλὺν βυθοῦ καὶ οὐκ ἐστὶν ὑπόστασις. καὶ σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ. 7. τέταρτον ἦν τῶν ὑδάτων ἡμῖν πλῆθος ἐπεισρυὲν ἐκ τῆς τοῦ Νείλου αὐξήσεως καὶ ἐπὶ τρεῖς ἡμέρας δι' ὑδάτων πορευομένοις καὶ ἐν τοῖς στομίοις μικροῦ δεῖν κατακλυσθεῖσιν· ὅτε καὶ ἐβοῶμεν λέγοντες· ‚μή με καταποντισάτω καταιγὶς ὕδατος μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ.' 8. πέμπτον δὲ λῃσταῖς περιεπέσαμεν κατὰ τὴν θαλασσίαν ὄχθην ἐπὶ τὴν Δίολκον ἀπερχόμενοι, οἵ ἄχρι τοσοῦτον ἡμᾶς κατεδίωξαν καταλαβεῖν βουλόμενοι, ἄχρις [ἂν] τὴν πνοὴν ἡμῶν ἐν ταῖς ῥισὶ μικρὰν ὑπολειφθῆναι, ὡς ἐπὶ δέκα μίλια ἡμῶν διωχθέντων. 9. ἕκτον δὲ τὸν Νεῖλον πλέοντες μικροῦ κατεποντίσθημεν καταστραφέντες. 10. ἕβδομον [ἦν], ὅτε κατὰ τὴν Μαρεώτιδα λίμνην,

---

6 Hi. 5,19. **12** Ps. 68,1.2. **14** Ps. 68,14. **18** Ps. 68,15.

$P^2C^1P^4L(P^3)P^6$ 𝔡 r s] **1** ἦν P^6 𝔡, > *rell.* | ἡμῖν > C^1P^4 | μέγας ἐστιν C^1, μέγιστος ἦν P^4 | **2** ἐτολ/// ////μήσαμεν (*c. 4 Bst. ausrad.*) L | **3** οὐ P^2 | οἴδαμεν L, ἴδαμεν P^3 | ἀπονητὶ P^2C^1 | **4** οὐδ' ἀκμητὶ P^6 𝔡, > P^2C^1 s | ἱστορίας] ἱερὰς 𝔡 | πολλὰ > P^2 | **5** δεῖν > LP^3 | μόγις C^1 𝔡 | **6** θάνατον] θανάτω P^6; *des.* P^3 | ὑπέστημεν] περιεπέσαμεν P^6 𝔡 | καὶ ἐν C^1P^4 | ἡμῖν P^6 | τι] τὸ P^2P^4, > C^1P^6 𝔡 | **7** κακόν] + τοῦ θεοῦ πάντοτε ἡμᾶς διασώσαντος 𝔡 r s (cf. Cit.) | μὲν > P^2C^1 | νυχθημέροις LP^6 | **8** μικροῦ δεῖν > P^6 | ὠλιγοψυχήσαμεν P^6 | δὲ > C^1P^4 | **9** ἅλεσιν L 𝔡 | ἑαυτῶν πόδας P^2 | ἑαυτῶν > C^1P^4 | διατρηθέντες C^1, διατριθέντες P^4 | **10** ἀνυποστάτους P^2 | τρίτον] ἄλλοτε C^1P^4 | **11** δὲ] + πολλάκις s | ἐνεφράγημεν P^2 | ἄχρι C^1, ἄχρις P^6, ἕως P^2 | **12** Δαβὶδ] προφήτου P^2 | ἐβοῶμεν P^6 | ἀνεβοῶμεν φωνὰς 𝔡 | ὁ θεός] κύριε P^2P^4 | **13** ἕως *m. 2. s. l.* C^1 | ὑλὶν C^1P^4, ὑλὴν L | **15** τέταρτον ἦν] ἄλλοτε δὲ τὸ C^1P^4 | ἦν] τῆς L, > P^2 | ἡμῖν > C^1P^4 | πλήθους LP^6 | ἐπιρρυέντος LP^6 | **16** καὶ > $P^2P^4P^6$ 𝔡 | τρισὶν ἡμέραις C^1P^4 | πορευομένων LP^6, πορευσάμενοι 𝔡 | ταμείοις C^1, τομείοις L | **17** κατακλυθεῖσιν P^2L, κατακλυσθῆναι P^4 | τότε P^2 𝔡, ὅτι L | καὶ > P^2 | **18** μηδὲ² — 19 αὐτοῦ > P^6 𝔡 | **19** δὲ > P^2 | **20** θαλάσσιον P^2 | ὄχθαν $P^2C^1P^4$ 𝔡 | ἀφικόμενοι LP^6 𝔡 | **21** οἳ καὶ P^2, οἳ δὲ P^6 | τοσούτου 𝔡 | ἂν] οὗ P^2L, *str.* Schw. | **22** ἐν τ. ῥισὶ > 𝔡 | χερσὶν, *danach* ἡμῶν *ausr.* P^6 | ὡσεὶ P^2 | **23** διωχθέντων ἡμῶν P^2 | διωχθέντα L | δὲ] ὅτι P^2 | μικρὸν 𝔡 | κατεποντώθημεν P^2 | **24** στραφέντες P^2 | ἦν > $P^2C^1P^4$ s | ὅτε] ἔνθα P^6 | μαραιωτικὴν P^2. |

Digitized by Google

ἐν ᾗ ὁ χάρτης γεννᾶται, εἰς νῆσόν τινα ἀπερρίφημεν ἔρημον καὶ τρία νυχθήμερα ὑπαίθριοι ἐμείναμεν, κρύους μεγάλου καὶ ὄμβρων ἡμῖν ἐπικειμένων. ἦν γὰρ ὁ καιρὸς τῶν ἐπιφανειῶν.

11. Ἐν δὲ τῷ ὀγδόῳ περισσὸν μὲν ἐστὶ τὸ διήγημα, ὅμως ὠφέλιμον. παριόντων γὰρ ἡμῶν διά τινος τόπου εἰς τὰς Νιτρίας κοιλάς τις ἦν κατὰ τὴν χώραν ὕδατος γέμουσα, ἐν ᾗ ἐναπομείναντες κροκόδειλοι πολλοὶ ἦσαν τοῦ ὕδατος ἐκ τῶν χωρῶν ὑποχωρήσαντος. 12. τριῶν οὖν μεγάλων κροκοδείλων ἐπὶ τὸ χεῖλος τοῦ βόθρου ἐκτεταμένων προσῄειμεν ἡμεῖς ὀψόμενοι τὰ θηρία νομίσαντες αὐτὰ τεθνηκέναι. 13. τὰ δὲ εὐθὺς ἐφ' ἡμᾶς ὥρμησαν. ἡμεῖς δὲ μεγάλῃ φωνῇ τὸν Χριστὸν ὠνομάσαμεν ἐκβοήσαντες· ‚Χριστέ, βοήθει.' οἱ δὲ θῆρες, ὥσπερ ὑπό τινος ἀγγέλου ἀποστραφέντες, ἑαυτοὺς εἰς τὸ ὕδωρ ἠκόντισαν. ἡμεῖς δὲ δρόμῳ συχνῷ ἐπὶ τὰς Νιτρίας ἀπεληλύθαμεν τὴν τοῦ Ἰὼβ φωνὴν μελετῶντες, ἔνθα φησίν· ‚ἑπτάκις ἐξ ἀναγκῶν ἐξελεῖταί σε, ἐν δὲ τῷ ὀγδόῳ οὐ μὴ ἅψηταί σου κακόν.'

14. Εὐχαριστοῦμεν οὖν τῷ κυρίῳ τῷ ἐκ τοσούτων κινδύνων ἡμᾶς ῥυσαμένῳ καὶ μεγάλας θεωρίας ἡμῖν ἐπιδείξαντι, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

11 Cf. Mt. 8,25. **14** Hi. 5,19.

P^{2}C^{1}P^{4}LP^6 δ r s] **1** ἐν ᾗ] ἔνθα P^6 δ s | γεννᾶται ὁ χάρτης P^6 s | τινα μικρὰν C^{1}P^4 s τ. μακρὰν P^2 | **2** ὕπαιθροι P^6 | κρύου P^{4}P^6 | **3** ἦν — ἐπιφανειῶν > P^2 | ἐπιφανίων P^{4}P^6 | **4** ἐν — ὀγδόῳ] ὄγδοον C^{1}P^4 | μὲν] ἡμῖν P^2 | ὅμως] + ὡς P^4 | ὠφέλιμον] + εἰρήσθω P^4 | **5** παριέντων L | ἐν μιᾷ τῶν χωρῶν s | **6** χώραν] + μεγάλη LP^6 δ | ὑδάτων P^{2}L | ἀπομείναντες LP^6 | ἦσαν πολλοὶ δ | πολλοὶ > P^6 | **7** τ[ῶ]ν *a. Ras.* C^1 | οὖν > P^6 | μεγάλων > δ | **8** τεταμένων ὄντων P^6 | πρόιμεν L | **9** νομίζοντες L | τεθνάναι P^{2}P^6 | ἐφ'] πρὸς C^1 | **10** μεγάλῃ] + τῇ C^1 δ | κύριον δ | ὀνομάσαντες P^{2}C^1, ὀνομασάντων δ | ἐβοήσαμεν P^2, λέγοντες P^6 | **11** Χριστέ, βοήθει] *erbarme dich unseres Lebens* s | οἱ δὲ] εὐθὺς οἱ δ | θῆρες] κροκόδειλοι s | ὡς ὑπὲρ L | τινος > P^2 δ | **12** δρόμῳ] τρόμω P^2 (τ *Initial*), χρόνῳ P^6 | **13** ἀπεληλύθημεν C^1 | τοῦ] + δικαίου s | μελετουντες (ῶν über ουν) P^4 | **14** [ἑπτά]κις *a. Ras. von m. 2* (*urspr.* πεντάκις?) P^6 | ἐνεγκῶν P^4 | σε ἐξελεῖται TP^6 | ἐν — ὀγδόῳ *i. mg. m. 2* P^6 | οὐχ ἅψεται P^6 | **16** τοιγαροῦν P^2 | κυρίῳ — 18 Ἀμήν] θεῷ καὶ πατρὶ ᾧπερ ἐπεὶ πᾶσα δόξα τιμὴ καὶ προσκύνησις σὺν τῷ μονογενῆ αὐτοῦ υἱῷ καὶ τῷ παναγίω καὶ ζωοποιῷ πνεύματι τῇ ἐν μιᾷ θεότητι δοξολογουμένῃ τριάδι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν P^2 | κυρίῳ] + ἡμῶν s | τῷ^2] τὸν P^4 | κινδύνων > C^1, ἡμᾶς κινδύνων P^4 | **17** ῥυσάμενον P^4 | ῥυσαμένῳ] + κακῶν καὶ κινδύνων χαλεπῶν C^1 | καὶ — 18 Ἀμήν] *u. grosse Beispiele u. Wunder zeigte er uns durch seine hl. Gläubigen u. Mönche.* s | **18** αἰῶνας τῶν αἰώνων P^6. |

Digitized by Google

Aus der Historia Lausiaca.

1. C. 41 ed. Meursius, 43—46 ed. Ducaeus.

Περὶ ἀββᾶ Ἰωάννου τοῦ ἐν Λυκῷ τῇ πόλει.

1. Γέγονέ τις Ἰωάννης ἐν Λυκῷ τῇ πόλει, ὃς ἐκ παιδίου ἔμαθε τὴν τεκτονικήν· ᾧ ἀδελφὸς ὑπῆρχε βαφεύς, ὃς ὕστερον γενόμενος ἐτῶν εἰκοσιπέντε ἀπετάξατο. καὶ διατρίψας ἐν διαφόροις μοναστηρίοις πέντε ἔτη ἀνεχώρησε μόνος εἰς τὸ ὄρος τῆς Λυκῶ εἰς αὐτὴν τὴν ἀκρώρειαν ποιήσας ἑαυτῷ τρεῖς θόλους. καὶ εἰσελθὼν εἰς αὐτοὺς ἀνῳκοδόμησεν ἑαυτόν. ἦν οὖν ὁ εἷς θόλος εἰς τὰς χρείας τῆς σαρκός, καὶ ὁ δεύτερος, ἔνθα εἰργάζετο καὶ ἤσθιεν, ὁ δ'ἄλλος, ἔνθα προσηύχετο.

2. Οὗτος τριάκοντα πληρώσας ἔτη ἐγκεκλεισμένος καὶ διὰ θυρίδος λαμβάνων διὰ τοῦ διακονοῦντος τὰ πρὸς τὴν χρείαν κατηξιώθη χαρίσματος προρρήσεων. ἐν οἷς καὶ τῷ μακαρίῳ Θεοδοσίῳ τῷ βασιλεῖ διαφόρους

---

4 Cf. Rufin., historia monachorum in Aegypto c. 1 (MSL XXI 391 sqq.) Ἱστορία κατ' Αἴγυπτον τῶν μοναχῶν c. II (*s. o. S.* 4 ff.). **13** cf. Rufin., l. c. Col. 391 C, 404 D, 405 A hist. eccl. II 32, Ἱστορία, l. c. § 2.64. Cf. Sozom., h. e. VII 22,7.8. Theodoret., h. e. V 24. August., de ciu. dei V 26,1. de cura pro mort. ger. 17,21.

$P^2C^2P^1C^1MLP^3P^4P^6P^8P^9$ μ h s] **4** Ἰωάννης] + ὀνόματι $C^1P^1MP^3P^4P^6P^8$ μ | ἐν — πόλει] ἐκ Λύκων τῆς πόλεως P^6P^8 | τῇ/// *1 Bst. ausr.* M | ἐκ — ἔμαθε] ἔμαθε παιδιόθεν P^9 | παιδίου] παιδὸς μὲν P^2, παιδία μὲν C^2 | **5** ᾧ] οὗ ὁ L, + τινι M; > P^9 | ἀδελφὸς — βαφεύς] ἀδελφὸν ἔχων βαφέα P^9 | ὃς — γενόμενος] οὗτος γεγονὼς P^9 | ὃς > P^2C^2 | ὕστερον] + δὲ P^2C^2 | γενόμενος] + ὡς P^2 | εἴκοσι s^c | **6** ἀπετάξατο] *nahm das Mönchsgewand* s | **7** μόνος > L | τῆς P^2P^9, τὸ (τῷ L), *rell.* τῶν μ, > P^1 | (τῆς)] + λεγόμενον C^2 | λυκῶν C^1P^4, λύκων P^6P^8 | Λυκῶ] + καὶ P^2 | αὐτὴν > P^9 | ἀκρώρειαν] + καὶ C^2 | ἐποίησεν P^2 | ποιήσας] + *dort* s^c | **8** θόλους] + *in dem ersten Jahre, da er auf den Berg stieg* s^c | καὶ > C^2 | εἰς αὐτοὺς > P^2C^2, illuc h | ἐνωκοδόμησεν P^8, ἐνοικοδόμησεν LP^3P^6 μ | ἑαυτὸν] + ut aditum ipsum, per quem introiit, obstruxerit h | **9** οὖν] + αὐτῶ C^2 | ὁ εἷς] ἡ μία M | ὁ^1] *auf Ras.* L, > P^6P^8; + μὲν P^9 | εἷς] + θόλος ἦν P^9 | εἰς — σαρκὸς *und* 10 ἔνθα προσηύχετο *vertauschen* $P^1C^1MP^4LP^3P^6P^8P^9$ μ | τὴν χρείαν P^9 | χρείας] + τὰς $P^1C^1MP^4LP^3P^6P^8$ μ | καὶ ὁ δεύτερος Schw., ὁ εἷς P^2, ὁ δὲ εἷς C^2, ὁ δεύτερος $P^1LP^3P^6P^8$, ὁ δὲ δεύτερος P^4, ὁ δὲ ἕτερος C^1 μ, ὁ δὲ ἄλλος P^9, ἡ δὲ δευτέρα M | ἔνθα P^2P^9, ἐν ᾧ *rell.* | **10** ἤσθιεν] ἤσθι *auf Ras.* L | ὁ δὲ ἄλλος C^2, καὶ ὁ ἄλλος P^2, ὁ ἄλλος $P^1C^1P^4P^6P^8$ μ, ἡ ἄλλη M, ὁ δὲ τρίτος LP^3 | **11** οὗτος — ἔτη] οὕτως οὖν χρονίσας ἐπὶ πολλὰ ἔτη P^9 | ἔτη πληρώσας C^2 | **12** ὑπὸ τοῦ διακονητοῦ λαμβάνων P^9 | λαμβάνων/// *Ras. von c. 10—11 Bst.* (διὰ θυρίδος?) P^1 | διὰ] παρὰ P^2C^2 | διὰ — διακονοῦντος > P^1 | τὰ πρὸς] αὐτῷ P^2C^2, τὰς πρὸς LP^3 | τὰς χρείας $P^2C^2MLP^3$ μ | **13** προρρήσεως P^1MP^4 μ, προοράσεως C^1 | καὶ > C^2. |

Digitized by Google

ἀπέστειλε προρρήσεις περί τε Μαξίμου τοῦ τυράννου, ὅτι νικήσας αὐτὸν ὑποστρέψει τῶν Γαλλιῶν. ὁμοίως δὲ καὶ περὶ Εὐγενίου τοῦ τυράννου εὐηγγελίσατο τοῦτο αὐτῷ, ὅτι νικήσει μὲν τοῦτον, αὐτὸς δὲ τὸ πέρας τοῦ βίου ἐκεῖσε πληρώσει καὶ τὴν ἐκεῖ βασιλείαν τῷ υἱῷ αὐτοῦ καταλείψει.

3. Τούτου φήμη ἐξῆλθε πολλὴ καὶ μεγάλη ὡς ἐναρέτου ἀνδρός· [δι' ὃ καὶ ὁ ἐν ἀγγέλοις ἀριθμούμενος βασιλεὺς Θεοδόσιος προφητικῇ τιμῇ τοῦτον ἐσέβετο].

4. Ὄντες οὖν ἡμεῖς ἐν τῇ ἐρήμῳ τῆς Νιτρίας ἐγώ τε καὶ οἱ περὶ τὸν μακάριον Εὐάγριον καὶ Ἀλβίνιον καὶ Ἀμμώνιον ἐζητοῦμεν μαθεῖν τὴν ἀκρίβειαν, τίς ἡ ἀρετὴ τοῦ ἀνδρός. λέγει οὖν ὁ μακάριος Εὐάγριος· ‚ἡδέως ἐμάνθανον παρά του εἰδότος δοκιμάζειν νοῦν καὶ λόγον, ποταπὸς εἴη ὁ ἀνήρ. ἐὰν γὰρ ἐγὼ αὐτὸν ἰδεῖν μὴ δυνηθείη, τὰ δὲ τῆς πολιτείας αὐτοῦ ἀκούσας ἀκριβῶς παρ' ἄλλου δυνηθῶ, οὐκ ἀπέρχομαι ἕως τοῦ ὄρους.' 5. ἀκούσας ἐγὼ [καὶ] μηδενὶ μηδὲν εἰρηκὼς ἡσυχάσας μίαν ἡμέραν τὴν ἄλλην ἀποκλείω μου τὸ κέλλιον καὶ θεῷ παραθέμενος ἐμαυτὸν ἐσκύλην ἕως Θηβαΐδος. καὶ ἔφθασα δι' ἡμερῶν δεκαοκτώ, τὰ μὲν πεζεύσας, τὰ δὲ καὶ πλεύσας ἐν τῷ ποταμῷ. ὁ καιρὸς δὲ ἦν ὁ τῆς ἀναβάσεως, ἐν ᾧ νοσοῦσι πολλοί. ὃ δὴ

$P^2C^2P^1C^1MLP^3P^4P^6P^8P^9$ μ h s] **1** ἀπέστελλε $P^1C^1LP^3$ μ | τε > C^2P^9 | **2** ὑποστρέψεις $P^2P^1C^1P^4P^9$ | ὑποστρέψει] + ἐκ P^6P^8 | ὁμοίως] postea h | ὁμοίως δὲ > P^9 | δὲ > C^2 | τοῦ τυράννου > P^2 | **3** εὐηγγελίσατο] προανήγγειλεν P^9 | αὐτῷ — 4 καταλείψει > P^2C^2 | αὐτῶι τούτωι (τοῦτο P^3) LP^3 | τοῦτο > P^9 | νικήσεις P^1P^3, νικήσης P^4L, νικήσει//// (σ *ausr.?*) P^6 | αὐτὸς — 4 καταλείψει > s | τὸ > P^9 | **4** ἐκεῖσε > P^9 | πληρώσει//// (σ *ausr.?*) P^6, ἐπληρώσει μ, πληρώσεις ∂ | ἐκεῖ > P^9 | αὐτοῦ > μ | **5** τούτου — ἀνδρός > P^9 | ἐξῆλθε φήμη πολλὴ $P^2P^6P^8$, φήμη πολλῆι ἐξῆλθεν L | πολλὴ] + τε M | καὶ μεγάλη > C^2 | ὡς — ἀνδρός > h | ἀνδρός — 7 ἐσέβετο > P^2 | δι' ὃ — 7 ἐσέβετο] τοῦτον ὁ εἰρημένος ἐν ἁγίοις βασιλεὺς θεοδόσιος καὶ προφητικῇ τιμῇ ἐγέραινεν M, > C^2s | **6** ὃ P^1C^1, L (*s. l.*), P^3P^6, ὡς *rell.*; > μ | ὁ — Θεοδόσιος > P^9 | ἐν — ἀριθμούμενος > h | ἁγίοις P^6 | ἀριθμούμενον $P^2C^2MP^8$ | ἀριθμούμενος] + ὁ μ | **7** ἐσέβετο] + φήμη οὖν πολλὴ καὶ μεγάλη ἐξήρχετο περὶ αὐτοῦ ὡς κατὰ πάντα ἐναρέτου P^9, asserens illum esse magnae uirtutis h | **8** ὄντων ... ἡμῶν P^9 | ἐν — ἐρήμῳ] ἐν τῷ ὄρει τῷ P^6P^8, εἰς τὸ ὄρος τὸ C^2 | ἐρήμῳ] + τῆι LP^3 | ἐγὼ — 10 ἀνδρός > P^9 | τὸν > P^1C^1 μ | **9** μακάριον > P^1C^1M μ | καὶ Ἀλβίνιον — Ἀμμώνιον > P^2P^1 s | Ἀλβίνιον *und* Ἀμμώνιον *vertauscht* h | **10** οὖν] + ἡμῖν h, > P^9 | ὁ > P^1C^1 μ | μακάριος > P^1C^1M μ | **11** ἐμάνθανον] εἶχον μαθεῖν P^9 | δοκιμάζειν] διδάσκειν, διδάσκ *auf Ras.* L | λόγον] λέγοντος P^1C^1M μ | εἴη] ἦν L, εἶ P^6P^8, ἡ C^2 | **12** ἐὰν — 13 δυνηθῶ P^2 s, ἐὰν γὰρ μάθω, ἵνα αὐτῷ συντύχω, ἐὰν δὲ μὴ μάθω αὐτοῦ τὴν πολιτείαν οὐκ κτλ. $P^1C^1MP^4P^6P^8$ μ, ἐ. γ. μάθω, ἵνα συντύχω, ἐὰν δὲ μὴ μάθω οὐκ κτλ. LP^3, ἐὰν γὰρ μὴ μάθω οὐκ κτλ. P^9, ἵνα οὕτως αὐτῷ συντύχω, ἐὰν γὰρ μὴ μάθω αὐτοῦ τὴν πολιτείαν οὐκ κτλ. C^2, si enim eum non prius alio referente cognouero h | τὰ — πολιτείας] *diese seine Vortrefflichkeit* s | **13** οὐκ] necesse iam erit, ut h | τοῦ ὄρους] ἐκεῖ C^2 | ἀκούσας] + δὲ P^9 | **14** ἐγὼ] οὖν αὐτοῦ L | καὶ > $C^2C^1P^6P^8$ μ | ἡσύχασα C^2 | ἡσυχάσας] μετὰ P^9 | τὴν] + δὲ P^2C^2 | τὴν ἄλλην > P^9 | ἄλλην] + ἡμέραν C^2 | ἀποκλείσας P^2C^2 | **15** καὶ] + τῷ μ | ἑαυτὸν P^9 | ἐμαυτὸν] + καὶ αὐτὸς $LP^3P^6P^8P^9$ μ, οὕτως C^1, καὶ αὐτῷ C^2 | ἐσκύλην] ἀνέβην P^9 | καὶ — 16 δεκαοκτώ > P^9 | **16** δέκα καὶ ὀκτώ P^1 | τὰ .. τὰ] τὰς .. τὰς P^1 | μὲν] δὲ L | **17** ποταμῷ] + δι' ἡμερῶν ιη̄ ἔφθασα P^9 | ὁ καιρὸς — *S.* 100,4 ἤνοιγον > P^9 | ὁ² > $P^1MP^6P^8$ μ | ἀναβάσεως] + τοῦ νείλου C^2 | νοσοῦσι] + οἱ P^6P^8. |

Digitized by Google

καὶ ὑπέστην. 6. ἀπελθὼν οὖν εὗρον αὐτοῦ κεκλεισμένον τὸ προεισοδικόν. (ὕστερον γὰρ προσῳκοδόμησαν οἱ ἀδελφοὶ προεισοδικὸν μέγιστον, ἐν ᾧ ἐχώρουν ἄνδρες ὡς ἑκατόν, καὶ κλειδίῳ ἀποκλείοντες κατὰ σάββατον καὶ κυριακὴν μόνον ἤνοιγον.) μαθὼν οὖν τὴν αἰτίαν, δι' ἣν ἐκέκλειστο, ἡσύχασα ἕως τοῦ σαββάτου καὶ παραγενόμενος [περὶ] ὥραν δευτέραν ἐπὶ συντυχίᾳ τοῦ δικαίου ἀνδρὸς ηὗρον αὐτὸν τῇ θυρίδι παρακαθεζόμενον, δι' ἧς ἐδόκει παρακαλεῖν τοὺς παρατυγχάνοντας. 7. ἀσπασάμενος οὖν με ἔλεγε δι' ἑρμηνέως· ‚πόθεν εἶ καὶ τί παραγέγονας; στοχάζομαι γάρ σε τῆς συνοδίας εἶναι τῆς Εὐαγρίου.' καὶ εἶπον, ὅτι· ‚ξένος ἐκ Γαλατίας ὡρμημένος.' ὡμολόγησα δέ, ὅτι τῆς ἑταιρίας Εὐαγρίου εἰμί. 8. καὶ ἐν τῷ μεταξὺ λαλούντων ἡμῶν ἐπεισῆλθεν ὁ ἡγεμὼν τῆς χώρας Ἀλύπιος ὀνόματι. οὗ προσδραμόντος ἀφῆκε τὴν πρὸς ἐμὲ ὁμιλίαν ὁ μέγας. ἀναχωρήσας οὖν ὀλίγον ἐγὼ δέδωκα αὐτοῖς τόπον ἑστὼς πόρρωθεν. 9. ἐπὶ πολὺ δὲ συνομιλούντων αὐτῶν ἠκηδίασα καὶ ἀκηδιάσας κατεγόγγυσα τοῦ καλογήρου, ὡς ἐμοῦ μὲν καταφρονήσαντος, τιμήσαντος δὲ ἐκεῖνον. καὶ ἐπὶ τούτῳ σκανδαλισθεὶς τὴν διάνοιαν ἐσκεπτόμην ἀναχωρῆσαι καταφρονήσας αὐτοῦ. προσκαλεσάμενος δὲ [ὁ τοῦ Χριστοῦ δοῦλος] τὸν ἑρμηνέα Θεόδωρον ὀνόματι, λέγει αὐτῷ· ‚ἄπελθε,

---

$P^2C^2P^1C^1MLP^3P^4P^6P^8P^9$ μ h s] **1** οὖν] + καὶ C^2 | εὑρῶν C^2 | κεκλεισμένον] membrum h Codd. *corr. Rosweyd:* septum | προεισόδιον P^2, προοδικὸν P^6P^8 | προεισοδικὸν] + *wo der Mönch bei den Brüdern zu sein pflegte in einem sehr grossen Hause; eines, wo 100 Menschen (waren), bauten nach einiger Zeit die Brüder* s | **2** γὰρ] δὲ P^2 | **3** ἐχωροῦντο P^1, ἐχώρει P^6P^8, χωροῦσιν P^2 | ἄνδρας P^6P^8 | ἀποκλείσαντες C^2, ὑποκλείοντες P^8 | μόνον ἤνοιγον *hinter* σάββατον M | καὶ²] + κατὰ M | **4** μόνον > $P^2C^2P^6P^8$ | ἀνοίγοντες $C^1P^6P^8$ μ | μόνον] + καὶ εὗρον αὐτὸν κεκλεισμένον ἔσωθεν. μαθὼν οὖν, ὅτι κατὰ σάββατον καὶ κυριακὴν μόνον ἀνοίγουσιν, ἡσύχασα ἕως κτλ. P^9 | αἰτίαν — ἐκέκλειστο] *Regel* (κανών) *seiner Einschliessung* s | ἧς P^2 | ἐκέκλειτο P^2 | ἡσυχάσας L μ | ἕως τοῦ σαββάτου ἡσύχασα C^2 | **5** καὶ — δευτέραν] περὶ δευτέραν δὲ ὥραν παραγενόμενος P^9 | παραγενάμενος P^3 | περὶ C^2P^9 h s, > $P^2P^1C^1MP^4LP^3P^6P^8$ μ | ἐπὶ — 6 ἀνδρὸς > P^9 s | ἐπὶ] ἐν τῇ P^2 | **6** τοῦ — ἀνδρὸς > P^2 | αὐτὸν] + ἐν P^2 | προσκαθεζόμενον P^1, καθεζόμενον C^2 | ἣν μ | **7** οὖν > C^2 | ἐμὲ μ | **8** σε *hinter* 9 εἶναι P^1 | **9** τῆς > $C^2P^6P^8P^9$ | καὶ — 10 εἰμὶ > $P^1C^1MLP^3P^4P^6P^8P^9$ μ, respondi me esse peregrinum et de Galatiae partibus uenire et unum me ex Euagrii fratribus esse confessus sum h, *ich sprach aber: ein Fremdling bin ich aus Galatien; ich bekannte aber auch, dass ich einer von denen bei Evagrius bin* s | Γαλατίας] + μερῶν C^2 h | ὁρμώμενος C^2 | **10** ὅτι] + καὶ C^2 | ἑταιρείας P^2, συνοδίας C^2 | εἰμί > C^2 | καὶ > P^2C^2 | ἐν] + δὲ P^2 | μεταξὺ] + οὖν C^2 | **11** εἰσῆλθεν P^1C^1M μ, ἐπεισελθὼν P^9 | ὁ ἡγεμὼν > *am Ende von f.* ***217a*** C^1 | ἡγεμὼν P^2C^2 s, ἄρχων $P^1C^1MLP^3P^4P^6P^8P^9$ μ, praeses h | Ἀλύπιος] Ὀλύμπιος s | ᾧ προσδραμὼν P^2C^2 | οὗ] καὶ P^9 | **12** πρὸς ἐμὲ] ἐμὴν P^2 | πρός με C^2P^9, εἰς ἐμὲ P^8 | ὁ μέγας > P^2C^2 | ὀλίγα L | ἐγὼ — 13 πόρρωθεν] καὶ P^2 | ἐγὼ] ἀπ' αὐτῶν C^2 | **13** αὐτοῖς] αὐτῷ P^6P^8 | ἑστὼς] εἰς τὸ μ | ἑστὼς πόρρωθεν] *und ich machte mich auf vom Berge* s | δὲ] οὖν P^1 | αὐτῶν συνομιλούντων P^9 | **14** ἠκηδίασα καὶ > P^9 | ἀκηδιάσας] ὀλιγωρήσας P^2 | κατεγό// //γγυσα L | κατεγόγγυσα] + κατὰ P^2 | **15** τιμήσαντος > P^6 | δὲ] δι' P^6P^8 | τοῦτο $P^2C^2P^1L$ | σκανδαλισθεὶς C^1, σιανθεὶς *rell.* | **16** αὐτοῦ] + ὁ δὲ C^2 | δὲ — 17 δοῦλος > C^2 | ὁ — 17 δοῦλος > P^2 h s | **17** θεόδωρον τὸν ἑρμηνέα P^9 | ὀνόματι θεόδωρον $P^1C^1MP^4$. |

Digitized by Google

εἰπὲ τῷ ἀδελφῷ ἐκείνῳ· »μὴ μικροψύχει. ἄρτι ἀπολύω τὸν ἡγεμόνα καὶ λαλῶ σοι.«‘ ἔγνων οὖν ἀκριβῶς, ὡς πνευματικὸς προγινώσκει πάντα. καὶ τούτῳ προσχὼν μᾶλλον προσεκαρτέρουν. 10. ἐξελθόντος δὲ τοῦ ἡγεμόνος προσκαλεῖταί με καὶ λέγει μοι· ‚διὰ τί ἐβλάβης κατ’ ἐμοῦ; τί ἄξιον βλάβης εὗρες, ὅτι ἐκεῖνα ἐλογίσω, ἅπερ οὔτε ἐμοὶ πρόσεστιν οὔτε σοι ἔπρεπεν ἐκεῖνα λογίσασθαι; ἢ οὐκ οἶδας, ὅτι γέγραπται· οὐ χρείαν ἔχουσιν οἱ ὑγιεῖς ἰατροῦ, ἀλλ’ οἱ κακῶς ἔχοντες; σὲ ὅτε θέλω εὑρίσκω καὶ σὺ ἐμέ. καὶ ἐὰν μὴ ἐγώ σε παρακαλέσω, ἄλλοι σε ἀδελφοὶ παρακαλοῦσι καὶ ἄλλοι πατέρες. οὗτος δὲ ὁ ἔκδοτος δεδομένος τῷ διαβόλῳ διὰ τῶν κοσμικῶν πραγμάτων καὶ βραχεῖαν ἀναπνεύσας ὥραν, ὥσπερ τις οἰκέτης αὐστηρὸν δραπετεύσας δεσπότην, παρεγένετο ὠφεληθῆναι. ἄτοπον οὖν ἦν καταλείψαντα αὐτὸν σοὶ προσδιατρίψαι σοῦ ἀδιαλείπτως τῇ σωτηρίᾳ σχολάζοντος.‘ παρακαλέσας οὖν αὐτὸν ἐγὼ εὔξασθαι ὑπὲρ ἐμοῦ ἐπληροφορήθην τελείως, ὅτι ἀνὴρ ἐστὶ πνευματικός. 11. τότε χαριεντιζόμενος τῇ δεξιᾷ χειρὶ εἰς τὴν ἀριστεράν μου σιαγόνα ἠρέμα κοσσίσας λέγει μοι· ‚πολλαί σε μένουσι

---

6 Lc. 5,31.

$P^2C^2P^1C^1(M)LP^3P^4P^6(P^8)P^9$ μ h s] **1** μικροψύχει] *werde nicht unwillig* (ἀκηδιάσῃ? *cf.* S. 100,14) s | ἡγεμόνα] ἄρχοντα P^9 | **2** ἔγνων — 3 προσεκαρτέρουν] ἔδοξα οὖν ὡς πνευματικῷ αὐτῷ ὄντι προσκαρτερεῖν P^2, ἔδοξα οὖν αὐτῷ ὡς πνευματικῷ προσχὼν προσκαρτερεῖν C^2 | ὡς πνευματικὸς προγινώσκει πάντα s, πνευματικὸν αὐτὸν (α. > C^1) εἶναι καὶ προγινώσκειν (προγινώσκει C^1) (τὰ + P^1P^9) πάντα $P^1C^1MLP^3P^4P^6P^8P^9$ μ | καὶ — 3 προσεκαρτέρουν] *da gedachte ich zu bleiben* s, > P^9 | **3** προσέχων $P^2C^2LP^3P^8$ | προσεκαρτέρουν] + καὶ P^2 | δὲ] οὖν LP^6P^9 μ, γὰρ P^3, > P^2 | **4** με > $P^2P^1C^1MP^4P^6P^8$ μ | κατ’ ἐμοῦ] εἰς ἐμὲ P^2 | τί²] ἢ τίνα C^2 | ἄξια C^2 | **5** εὗρες] + κατ’ ἐμοῦ C^2 | ἐλογίσω] + κατ’ ἐμοῦ C^2 | σοὶ] σὺ P^8 | ἐκεῖνα > $P^2C^2LP^3$ | **6** λογίσασθαι > P^2C^2 | ὅτι] ἅπερ LP^3P^9 | ὑγιεῖς LP^3, ὑγιαίνοντες (= Lc. 5,31) P^2, ἰσχύοντες (= Mc. 2,17 Mt. 9,13) $C^2P^1C^1MP^4P^6P^8P^9$ μ s incolumes ac fortes h | **7** ὅταν P^6P^8 | **8** κἂν ἐγώ σε μὴ $P^1C^1MP^4P^6P^8$ μ | ἐγώ σε μὴ C^2 | παρακαλέσω] *des.* M | ἄλλοι > s | σε > L | παρακαλέσωσιν C^1 | ἄλλοι > P^9 s | **9** δὲ] + ἐστὶν P^2C^2; *der Hegemon, der zu uns kam* s^c | ἔκδοτος > $P^2LP^3P^9$ | ἐκδεδομένος $P^2C^2LP^3P^9$ | (ἐκ)δεδημένος s | δεδομένος] + ἐστὶ P^6P^8 | δεδωμένος μ | τῶν > $LP^6P^8P^9$ | **10** καὶ] κἂν P^6P^8, ἐὰν C^1, + ἐὰν μ | κἂν βρα|| *des.* P^8 | ὥσπερ — 11 δεσπότην] *der von der unnützen Arbeit eines schimpflichen Dienstes floh, wie ein Knecht von seinem Herrn* s | ὡς P^2C^2 | τις > C^2 | οἰκέτης *hinter* 11 δεσπότην $P^1C^1P^6$ μ, *hinter* δραπετεύσας C^2 | αὐστηρὸν > P^2C^2 | **11** δεσπότην (οἰκέτης)] + οὕτως (+ καὶ οὗτος C^1P^6 μ) βραχεῖαν ὥραν εὑρὼν $P^1C^1P^6$ μ | παρεγένετο] + πρὸς ἡμᾶς τοῦ P^1C^1 μ | οὖν] δὲ P^6, > P^1 | οὖν] + ἡμᾶς μ | ἦν > C^2LP^3 | ἦν] + ἡμᾶς $P^1C^1P^6$ | καταλείψαντας $C^2P^1C^1P^6$ μ | καταλείψαντα] + με P^2 | αὐτὸν] ἐκεῖνον $P^1C^1P^6$ μ | **12** προσδιατρίβειν P^6 | παρακαλέσας — 13 ἐμοῦ > P^9 | παρακαλέσας — 13 τελείως] *nachdem er dies gesagt hatte, gab ich zu, dass er mich verliess, und ich war überzeugt, dass usw.* s | **13** ἐγὼ > P^2C^2 | πληροφορηθεὶς P^9 | τελείως > P^2C^2 | ὅτι] + ὄντως P^1P^6 μ, ἀληθῶς C^2 | ἀνὴρ > P^9 | **14** ἐστὶν] ἦν P^2 | πνευματικός ἐστι. παρεκάλει εὔξασθαι ὑπὲρ αὐτοῦ P^9 | τῇ δεξιᾷ — 15 κοσσίσας > P^9 | χαριεντισμένως P^1, χαριεντισμένος μ, χαριεντισάμενος C^2P^6 | χαριεντιζόμενος] + μοι C^1P^6 | δεξιᾷ] + αὐτοῦ $P^1C^1P^6$ μ | εἰς] ἐπὶ C^2 | **15** ἀριστερὰ L | μου > LP^3P^9 | ἠρέμα *nach* 14 δεξιᾷ P^2 | κοσσέσας (so!) *vor* 14 εἰς P^2, ἐκόσσισε P^1P^6 μ, ἐκόσσιζεν C^1; κοσ[illegible]ίσασ (σ *ausr.?*) P^3; + καὶ $P^2P^1C^1P^6$ μ | σε > h. |

Digitized by Google

θλίψεις καὶ πολλὰ ἐπολεμήθης ἐξελθεῖν τῆς ἐρήμου. καὶ ἐδειλάνθης καὶ ὑπερέθου, εὐλαβεῖς δέ σοι προφάσεις καὶ εὐλόγους φέρων ὁ δαίμων ἀναρριπίζει. ὑπέθετο γάρ σοι καὶ τὴν τοῦ πατρός σου ἐπιθυμίαν καὶ τὴν κατήχησιν τοῦ ἀδελφοῦ σου καὶ τῆς ἀδελφῆς εἰς τὸν μονήρη βίον. ἰδὲ οὖν σοι εὐαγγελίζομαι· ἀμφότεροι ἐσώθησαν· ἀπετάξαντο γάρ. καὶ ὁ πατήρ σου ζῆσαι ἔχει ἀκμὴν ἄλλα ἔτη ἑπτά. 12. ἐγκαρτέρει οὖν ἐν τῇ ἐρήμῳ καὶ μὴ τούτων χάριν θελήσῃς ἀπελθεῖν ἐν τῇ πατρίδι σου. γέγραπται γάρ· οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.' 13. ὠφεληθεὶς οὖν ἐγὼ ἐκ τῶν ῥημάτων τούτων καὶ στυφθεὶς ἱκανῶς ηὐχαρίστησα τῷ θεῷ τὰς ἐλαυνούσας με προφάσεις ἠνυσμένας μαθὼν τῇ προγνώσει τοῦ ἁγίου ἀνδρός.

14. Εἶτα πάλιν λέγει μοι χαριεντιζόμενος· ,θέλεις ἐπίσκοπος γενέσθαι;' ἐγὼ δὲ λέγω αὐτῷ, ὅτι· ,εἰμί.' καὶ λέγει μοι· ,ποῦ;' εἶπον, ὅτι· ,εἰς τὰ μαγειρεῖα, εἰς τὰ καπηλεῖα, εἰς τὰς τραπέζας, εἰς τὰ κεράμια. ἐπισκοπῶ αὐτὰ καὶ ἐὰν ᾖ οἰνάριον ὄξινον, ἀφορίζω αὐτό, τὸ δὲ χρηστὸν πίνω. ὁμοίως

7 Lc. 9,62.

$P^2C^2P^1C^1LP^3P^4P^6P^9$ μ h s] **1** καὶ[1] > P^9 | πολλά] + δὲ P^9, *Jahre bis heute* s | καὶ ἐδειλάνθης — **4** βίον *von* s *frei übersetzt: und du fürchtetest dich; und da dir die Gründe gut erschienen, dass du Gott fürchtetest, so war das ein böser Same in deiner Gesinnung; so triebst du deinen Sinn dazu, dass du davon abstandest (sc. Gott zu fürchten). Ein Same war in dir nämlich der Gedanke der Begierde. Diess war dir (insofern) auch gut, als du Sorge trugst, deinen Vater und deine Schwestern zum Herausgehen aus der Welt zu veranlassen (dadurch), dass sie das Mönchsgewand anlegten. Siehe, ich verkündige dir, dass usw.* | ἐξελθεῖν] + ἐκ C^2 | δειλανθεὶς P^9 | καὶ[3] > P^9 | **2** εὐσεβεῖς $P^1C^1P^6$ μ | καὶ εὐλόγους φέρων προφάσεις P^9 | εὐλόγους] + δῆθεν $P^1C^1P^6$ μ | **3** ἀναρραπίζει $P^1C^1LP^3P^4P^6$ μ, ἀναρπάζει C^2 | σοι > C^2 | σου > C^1 | τὴν κατήχησιν > P^9 | **4** τοῦ ἀδελφοῦ σου > s | τῶν ἀδελφῶν P^1 | καὶ τῆς ἀδελφῆς > C^2 | ἀδελφῆς] + σου P^1LP^3 μ | εἰς] τὴν πρὸς P^9 | βίον] + προτρεπτικὴν κατήχησιν P^9 | ἰδοὺ C^2 | **6** ζῆσαι — ἔτη ἑπτά] ἐτελεύτησεν P^2 | ἀκμὴν > P^9 | ἀλλ' μ | ἑπτὰ ἔτη P^1P^9, πέντε ἔτη C^2 | ἑπτὰ > s | καρτέρει LP^3 | ἐν τῇ — 7 θελήσῃς] τῷ τόπῳ ἔνθα κατοικεῖς καὶ μὴ θελήσῃς τούτων χάριν C^2 | ἐν] σὺ P^1C^1 μ | **7** χάριν τούτων P^6 | τούτων — θελήσῃς] τῇ προφάσει αὐτῶν θελήσῃς ἀπελθεῖν P^9 | ἐθελήσεις P^6, θελήσεις C^1P^2, θέλεις L | ἐν] εἰς P^2, ἐπὶ P^9 | τὴν πατρίδα P^2P^9 | σου > $P^1C^1P^6$ | **8** χεῖρα] + αὐτοῦ $TP^1C^1LP^3P^6P^9$ μ | **9** εἰς — βασιλείαν] ἐν τῇ βασιλείᾳ P^1 μ, τῇ βασιλείᾳ LP^3 | οὖν ἐγὼ > C^2 | ἐγὼ > P^2 | **10** τούτων] τοῦ θεοπνεύστου ἀνδρὸς $P^1C^1P^6$ μ | **11** με > P^6 | προφάσεις] χρείας C^2 | τῇ — ἀνδρός] iuxta uotum meum h, > P^2C^2 | ἀνδρός > P^9 | **12** ἔπειτα P^2 | **13** ἐγὼ δὲ > P^2C^2 | λέγω] εἶπον P^2 | αὐτῷ > P^6 | καὶ] ὁ δὲ $C^1P^6P^9$ μ, > P^1LP^3 | ποῦ] ποίας πόλεως $P^1C^1LP^3P^6P^9$ μ | εἶπον, ὅτι] λέγω αὐτῷ $P^1C^1LP^3P^6P^9$ μ, λέγω αὐτῷ ὅτι C^2 | εἰς τὰ μαγειρεῖα > P^2 | **14** μαγειρεῖα] + καὶ C^1P^6 | εἰς τὰ[1]] καὶ C^9 | εἰς τὰς] καὶ P^9 | ἐπισκοπῶ — 15 αὐτὸ > C^2 | **15** ἐὰν ᾖ — *S.* 103,2 ἐπισκοπή] καὶ τὰ μὲν ἀνήδονα καὶ εὐτελῆ βρώματα ἀφορίζω, τὰ δὲ πολυτελῆ καὶ ἡδονὴν πολλὴν ἔχοντα προσίεμαι καὶ ἐσθίω P^9 | ᾖ] + ὁ P^6 | οἶνος $P^1C^1LP^3P^6P^9$ μ | ὄξινος $P^1C^1LP^3P^6P^9$ μ, + a prandio meo h | αὐτὸν $P^1C^1LP^3P^6P^9$ μ | τὸν $P^1C^1LP^3P^6P^9$ μ, καὶ τὸν C^2 | δὲ] μὲν C^2 | χρηστόν] + οἶνον C^2 | πίνω] + τὸν δὲ ὄξινον ἀφορίζω C^2 | ὁμοίως] + δὲ C^2. |

Digitized by Google

ἐπισκοπῶ καὶ τὴν χύτραν καὶ ἐὰν λείπῃ ἅλας ἤ τι τῶν ἀρτυμάτων ἐμβάλλω καὶ ἀρτύω καὶ οὕτως αὐτὴν ἐσθίω. αὕτη μου ἐστὶν ἡ ἐπισκοπή. ἐχειροτόνησε γάρ με ἡ γαστριμαργία.‘ 15. λέγει μοι ὁ μακάριος μειδιάσας· ‚ἄφες τὰ παίγνια. ἐπίσκοπος ἔχεις χειροτονηθῆναι καὶ πολλὰ καμεῖν καὶ θλιβῆναι. εἰ τοίνυν φεύγεις τὰς θλίψεις, μὴ ἐξέλθῃς τῆς ἐρήμου. ἐν γὰρ τῇ ἐρήμῳ ἐπίσκοπόν σε οὐδεὶς ἔχει χειροτονῆσαι.‘

16. Ἀναχωρήσας οὖν αὐτοῦ ἦλθον ἐπὶ τὴν ἔρημον εἰς τὸν τόπον τὸν συνήθη αὐτὰ ταῦτα διηγησάμενος τοῖς μακαρίοις πατράσι. οἵτινες μετὰ δύο μῆνας διαπλεύσαντες ἦλθον καὶ συνέτυχον αὐτῷ. 17. ἐγὼ δὲ τῶν ῥημάτων αὐτοῦ ἐπελαθόμην. καὶ μετὰ τρία ἔτη ἠρρώστησα ἀρρωστίαν τὴν ἀπὸ σπληνὸς καὶ στομάχου. κἀκεῖθεν ἀπεστάλην εἰς τὴν Ἀλεξάνδρειαν παρὰ τῶν ἀδελφῶν· εἰς ὕδρωπα γὰρ ἐμελετᾶτο τὸ πάθος. ἀπὸ τῆς Ἀλεξανδρέων πάλιν συνεβούλευσαν οἱ ἰατροὶ τῶν ἀέρων ἕνεκεν καταλαμβάνειν με τὴν Παλαιστίνην. ἔχει γὰρ λεπτοτέρους ἀέρας, ὡς πρὸς τὴν κρᾶσιν τὴν ἡμετέραν. 18. ἀπὸ τῆς Παλαιστίνης κατέλαβον τὴν Βιθυνίαν καὶ ἐν ταύτῃ — οὐκ

$P^2C^2P^1C^1LP^3P^4P^6P^9$ μ h s] **1** ἐπισκοπῶ > C^2 | τὴν χύτραν] εἰς τὰς χύτρας C^2 | καὶ ἐὰν — 2 ἐσθίω > C^2 | ἅλα P^6 | ἀρτυτῶν P^6 | βάλλω P^2, ἐμβαλῶ L, ἐμβάλω C^1P^6, ἐκβάλλω μ, ἐμβαλῶν P^3 | ἐμβάλλω καὶ > s | ἐμβάλλω] + εἰς αὐτὴν $P^1C^1P^6$ μ | **2** καὶ^1 > P^3 | καὶ ἀρτύω > P^1 | ἀρτύω] + αὐτὴν C^1P^6 μ | αὕτη — ἐπισκοπή *von* s *zweimal übersetzt* | **3** γάρ > L | γαστριμαργία] + καὶ P^2, ὁ δὲ C^2 | λέγει — μειδιάσας] καὶ μειδιῶν ὁ μακάριος λέγει μοι P^9 | ὁ μακάριος] οὗτος P^2, > C^2 | **4** τὰ] ταῦτα τὰ s | καμεῖν *i. mg. m. rec.* κοπιᾶσαι C^1 | **5** φεύγεις] + *Mühen und* s | τὰς > P^1C^1 μ | ἐξέλθῃς] + ἀπὸ P^6 | τῆς ἐρήμου > P^9 | ἐρήμου] μονῆς σου C^2 | **6** ἐπίσκοπον — χειροτονῆσαι] οὐδεὶς δύναται ἐπίσκοπόν σε χειροτονῆσαι P^9 | σε ἐπίσκοπον C^2P^6 μ | σε > P^1C^1 | ἔχει] δύναται LP^3P^9 | οὐδεὶς] + σε C^1 | χειροτονῆσαι] χειροτονεῖ $C^2P^1C^1$ μ, χειροτονήσει P^6 | **7** ἀναχωρήσας — S. 104,5 ὑπέστην *hinter* εἶδέ τις S. 104,9 P^9 | ἦλθον] + πάλιν P^9 | ἐπὶ] εἰς P^1 μ | τὴν ἔρημον εἰς > P^2 | τὴν ἔρημον] τὸ μοναστήριον C^2 | εἰς — 8 συνήθη > P^1 | εἰς] ἐπὶ P^6 | τόπον] + μου C^2C^1 μ | **8** αὐτὰ ταῦτα > P^9 | αὐτὰ > C^2 | διηγούμενος C^2 | διηγησάμενος] + πάντα P^9 | μακαρίοις] ἁγίοις $P^1C^1LP^3P^6P^9$ μ | μακαρίοις πατράσιν] περὶ τὸν ἅγιον εὐάγριον C^2 | πατράσιν] + τὰ περὶ τοῦ θεσπεσίου (θεοπνεύστου P^1) καὶ πνευματοφόρου ἀνδρός $P^1C^1LP^3P^6P^9$ μ | μετὰ δύο μῆνας] μετ' οὐ πολὺ P^9 | **9** διαπλεύσαντες] πλεύσαντες P^2, > P^9 s | ἀνῆλθον P^9 | αὐτῷ] τούτῳ (ταῦτα L) τῷ μακαρίῳ $P^1C^1LP^3P^6$ μ | δὲ] + ὁ ἄθλιος $P^1C^1LP^3P^6$ μ | τῶν — 10 ἐπελαθόμην] ἐπιλαθόμενος τῶν ῥημάτων αὐτοῦ P^9 | **10** αὐτοῦ] τούτων P^6 | καὶ μετὰ] μετὰ γὰρ P^2, μετὰ P^9 | ἀρρωστίαν] + μεγάλην LP^3P^9 s^c | τὴν > P^9 | **11** κἀκεῖθεν — 12 πάθος] καὶ διὰ ταύτης P^9 | κἀκεῖθεν] ἐκεῖθεν οὖν C^2, *und* s | εἰς] ἐπὶ P^2 | **12** παρὰ] ὑπὸ C^2 | εἰς > P^2 | γὰρ] + λοιπὸν $P^1C^1LP^3P^6$ μ, > P^2 | μελετήσας P^2, ἐμελέτα C^2P^6 μ | τὸ πάθος > P^2 | **13** πάλιν — 14 με] κατέλαβον P^9 | πάλιν > C^2 | συμβουλεύσαντες C^2 | συνεβούλευσαν] + μοι $P^1C^1LP^3P^6P^9$ μ | καταλαβεῖν $C^2LP^3P^6P^9$ | **14** με > P^1C^1 | ἔχει — 15 ἡμετέραν] *denn es hat eine Mischung der leichten Lüfte, die für meinen Körper geeignet waren* s, > P^9 | ἔχει γὰρ] διὰ τὸ ἔχειν C^2 | λεπτοὺς $P^2P^6P^8$ s | **15** καὶ ἀπὸ P^9 | τῆς > P^9 | Παλαιστίνης] + πάλιν $P^1C^1LP^3P^6$ μ | κατέλαβον τὴν] εἰς P^9 | ταύτῃ] αὐτῇ $P^1C^1LP^3P^9$ | ταύτῃ] + γενόμενος C^2. |

Digitized by Google

οἶδα, πῶς· εἴτε ἐξ ἀνθρωπίνης σπουδῆς, εἴτε ἐξ εὐδοκίας τοῦ κρείττονος· μόνος ὁ θεὸς ἂν εἰδείη — κατηξιώθην τῆς ὑπὲρ ἐμὲ χειροτονίας κοινωνήσας τῇ περιστάσει τῇ κατὰ τὸν μακάριον Ἰωάννην. καὶ ἐπὶ ἕνδεκα μῆνας ἐν ζοφερῷ κελλίῳ κρυπτόμενος ἐμνήσθην τοῦ μακαρίου, ὅτι ταῦτά μοι προειρήκει, ἅπερ ὑπέστην.

19. Καὶ τοῦτό μοι διηγεῖτο, ὡς ἐθέλων με διὰ τοῦ διηγήματος ἀγαγεῖν ἀληθῶς εἰς ὑπομονὴν τῆς ἐρήμου, ὅτι· ‚τεσσαράκοντα καὶ ὀκτὼ ἔχω ἐν τῇ κέλλῃ ταύτῃ. οὐ γυναικὸς πρόσωπον εἶδον [οὐ νομίσματος ἰδέαν, οὐ μασώμενον,] οὐκ ἐσθίοντα, οὐ πίνοντά με εἶδέ τις‘. 20. Οὗτος καὶ τῇ δούλῃ τοῦ Χριστοῦ Ποιμενίῃ παραβαλούσῃ αὐτῷ ἱστορίας χάριν οὐ συντετύχηκε μέν, ἐδήλωσε δὲ αὐτῇ τινα καὶ τῶν ἀπορρήτων. παρήγγειλε δὲ αὐτῇ κατερχομένῃ ἀπὸ Θηβαΐδος μὴ ἐκνεῦσαι ἐπὶ Ἀλεξάνδρειαν, ‚ἐπεὶ πειρασμοῖς ἔχεις περιπεσεῖν‘. ἡ δὲ παραλογισαμένη ἢ ἐπιλαθομένη ἐξένευσεν ἐπὶ τὴν Ἀλεξάνδρειαν τάχα θέλουσα ἱστορῆσαι τὴν πόλιν. 21. κατὰ δὲ τὴν

---

2 Cf. 2 Cor. 12,2 f.

$P^2C^2P^1C^1LP^3P^4P^6P^9$ μ h s] **1** πῶς] + εἴπω $C^2P^1LP^3P^6P^9$ μ, εἴπω *danach von anderer Hd. mit hellerer Tinte* ται C^1 | εἴτε^1 — 2 κατηξιώθην] τοῖς ἀκαταλήπτοις κρίμασι τῆς ὑπὲρ ἐμὲ κατηξίωμαι P^9 | σπουδῆς] *Fürsorge und Eifer* s | εἴτε^2] + δὲ καὶ $C^1LP^3P^6$, καὶ P^1 μ | κρείττονος] *Gottes* s | **2** μόνος — εἰδείη > s | μόνος > P^2C^2 | εἰδείη] ἴδηι L, ἴδοι C^2, εἴδηι P^3P^6 | κατηξιώθη L, κατηξιώθην C^1 | κατηξιώθην] + *wegen meines Alters* s | τῆς — ἐμὲ > P^9 | ὑπ' L | **3** τῇ^1 — Ἰωάννην] τῇ κατὰ τοῦ μακαρίου ιω τὸν πατριάρχην κωνσταντινουπόλεως περιστάσει P^9 | Ἰωάννην] + *Bischof von Konstantinopel* s | καὶ] + ὡς s | ἕνδεκα] decem h | **4** Ζόφω P^9 | κελλίῳ > P^9 | κρυπτόμενος] κλεισθεὶς P^9 | τοῦ μακαρίου — 5 ὑπέστην] τῆς προφητείας τοῦ πνευματοφόρου πατρός. καὶ ταῦτα μὲν ἐγὼ εἶδον. καὶ μετ' ἐμὲ ἄλλοι ἀξιόπιστοι πατέρες τὰ περὶ αὐτοῦ λειπόμενα διηγήσαντο καὶ περὶ ἄλλων μεγάλων πατέρων ἅπερ εἰσὶ ταῦτα. ἑπτὰ ἦμεν ἀδελφοὶ κτλ. (hist. monach. in Aeg. 1,13 *s. S.* 8,4) P^9 | μακαρίου] ἁγίου ἐκείνου C^2, + καὶ θαυμασίου ἀνδρὸς ἐκείνου $P^1C^1LP^3$ μ, ἀνδρὸς ἐκείνου P^6 | προείρηκεν μ | **5** ἅπερ] + νῦν $P^1C^1LP^3P^6$ μ | **6** καὶ — ἐθέλων] διηγήσατο δέ (δέ > C^1) μοι (μοι δὲ P^3) καὶ τοῦτο ὁ μεγὰς ἀθλητὴς τοῦ χριστοῦ (μέγας — χρ.: *der selige Johannes* s), ὡς (ὁ μ) ὀφείλων $P^1C^1LP^3P^6$ μ s, τοῦτο δέ μοι διηγῆτο C^2 | καὶ — 7 ἐρήμου] πρὸς δὲ ὑπόθεσιν ὑπομονῆς καὶ τοῦτό μοι ὁ ἅγιος διηγήσατο P^9 | **7** εἰς ὑπομονὴν ἀγαγεῖν $P^1C^1LP^3P^6$ μ | ἀληθῶς > $C^2P^1C^1LP^3P^6$ μ | τῆς ἐρήμου] τοῦ ἀσκητηρίου C^2 | ἐρήμου] + πρὸς τὸ μηδέποτε αὐτῆς (αὐτοῖς P^1 μ) χωρισθῆναι λέγων μοι (μοι > P^1) τοῦτο (οὕτως P^1) $P^1C^1LP^3P^6$ μ | ἐρήμου] + *und sprach dies* s | τεσσαρακονταοκτὼ μ | **8** τῇ κέλλῃ ταύτῃ] τῷ σπηλείῳ τούτῳ P^2 | πρόσωπον γυναικὸς οὐκ εἶδον P^9 | εἶδον] + ne sororis quidem h | οὐ^2] οὐδὲ P^9 | οὐ — 9 μασώμενον > h s | ἰδέαν > $C^2P^1C^1LP^3P^6P^9$ μ | νομίσματος] *perg.* οὐκ ἐσθίοντά με τίς εἶδε ποτέ οὐδ' ὅλως πίνοντα P^9; cf. S. 103,7 | **9** μασώμενον] + με τις ἴδεν οὐδ' ὅλως ποτὲ LP^3, με τις εἶδεν $C^2P^1C^1P^6$ μ | οὐ πίνοντα οὐ κατεσθίοντα LP^3 | με] μὴ μ | με — τις > C^2LP^3 | τις] + πώποτε $P^1C^1P^6$ μ | οὗτος] + ὁ μακάριος s | οὕτως C^1 | **10** ποιμαίνῃ P^6, ποιμένη P^1, Ποιμένι, ἡ μ | παραβαλοῦσα P^1C^1 μ, παραβαλλούσηι LP^3 | αὐτῷ] αὐτὸν L, > P^2 | **11** μὲν] + αὐτῆι κατὰ πρόσωπον $C^2P^1C^1LP^3P^6$ μ | μὲν > C^2 | ἀπορρήτων] + *damit er sie tröste* s | **12** ἐπὶ] εἰς τὴν P^2, εἰς C^2 | ἐπεὶ] + *und wenn nicht* s, si eum nollet audire h | **13** ἔχει $P^1C^1P^3P^6$ | πεσεῖν P^6 | δὲ] + ἡ P^1C^1, ἢ C^2 μ | παραλογισαμένη *und* ἐπιλαθομένη *umgestellt* s | παραλογισαμένη] + τοῦ ἁγίου (μεγάλου $P^1C^1P^6$ μ) τὴν πρόρρησιν $P^1C^1LP^3P^6$ μ | ἢ] + καὶ LP^3 | **14** ἐπὶ > L | Ἀλεξάνδρειαν] + ἱστορίας χάριν μ | τάχα θέλουσα > P^2C^2 h s | ἱστορῆσαι] ἰδεῖν μ | τὴν πόλιν] αὐτὴν P^2 | πόλιν] + sibi incognitam h. |

Digitized by Google

ὁδὸν πλησίον Νικίους τῆς πόλεως παρέβαλεν αὐτῆς τὰ πλοῖα ἀναπαύσεως χάριν. ἐξελθόντες οὖν οἱ παῖδες ἐξ ἀταξίας τινος συνέβαλον μάχην μετὰ τῶν ἐπιχωρίων ἀνδρῶν ἀπονενοημένων. οἵτινες ἑνὸς μὲν εὐνούχου δάκτυλον ἦραν, ἄλλον δὲ ἐφόνευσαν. 22. Διονύσιον δὲ τὸν ἅγιον ἐπίσκοπον καὶ εἰς τὸν ποταμὸν ἔβαψαν ἀγνοήσαντες, κἀκείνην αὐτὴν πολλαῖς ἔπλυναν λοιδορίαις καὶ ἀπειλαῖς. τοὺς δὲ λοιποὺς πάντας ἐτραυμάτισαν παῖδας καὶ εἴασαν.

2. C. 86 ed. Ducaeus [Meursius fehlt].

Περὶ Εὐαγρίου.

1. Τὰ κατὰ Εὐάγριον τὸν ἀοίδιμον διάκονον τοῦ Χριστοῦ, ἄνδρα

$P^2C^2P^1C^1LP^3P^6$ μ h s] **1** νικίου P^6 Schw. | τῆς *str.* Schw. | παρενέβαλεν P^2, παρέλαβεν μ | αὐτῆς] αὕτη εἰς LP^3, αὕτη P^2C^2 | τοῖς πλοίοις C^2 | **2** παῖδες] + αὐτῆς LP^3C^2 | **3** ἐγχωρίων C^1 | ἀπονενοημένων] + ὄντων P^1 | οἵτινες] τι *von 2. Hd.?* L | ἑνὸς *nach* εὐνούχου P^2 | **4** ἦραν] ἀπέκοψαν $P^1C^1LP^3P^6$ μ, dissecuit et rapuit (ἀπέκοψεν καὶ ἦρεν) h | ἁγιώτατον P^2C^2 | ἐπίσκοπον] + *von Alexandrien* s | καὶ > C^2 | **5** ἔβαψαν] ἔρριψαν C^2, ἔθαψαν μ | ἔβαψαν] + ὅμως $P^1C^1LP^3P^6$ μ | πολλαῖς > P^2C^2 μ | λοιδορίαις ἔπλυναν P^1 | ἔπλυναν > P^2C^2 | **6** καὶ] + ἐφόβησαν $P^1C^1LP^3P^6$ μ | ἀπειλαῖς] + συνδιέτριψαν P^2, συνέτριψαν C^2 | καὶ τοὺς λοιποὺς P^2 | δὲ > P^1C^1 μ | λοιποὺς πάντας > P^1 | παῖδας > C^2 | παῖδας τραυματίσαντες $P^1C^1LP^3P^6$ μ | ἐτραυμάτισαν] + *mit schweren Wunden* s | καὶ εἴασαν] ἦσαν P^2, > P^1C^1 μ | **7** εἴασαν] + *um wegzugehen* s. |

10 $C^2C^1LV^1V^2(P^6)$ ϑ a h k p s] § 1 *lautet bei* k: Nunc incipiam et de apa Euagrio, cui manus imposuit Gregorius episcopus, loquar; aequum enim est, ut illius, cui omnes gloriam tribuerant, uirtutes narremus; nam apostolicam uitam egit. Non enim ueritatis opus esset, si illius opera mirabilia(?) ac progressus silentio praeteriremus; sed potius, quae ad aedificationem utilitatemque illorum, qui sunt lecturi, scribantur digna sunt, ut deo, qui hominibus haec faciendi uim dedit, laus tribuatur. Ipse enim me uitam, quae est in Christo, ipse me scripturarum intelligentiam spiritualem seniorumque qui fuerunt sermones docuit, sicut scriptum est: ut manifestetur peccatum, quoniam peccator est. Toto enim tempore, quo in monte mansit ille, mansi ego quoque cum illo, unoquoque nostrum se solum includente; nocte uero sabbati dominicamque diem apud illum agebam; sed ne aliquis a me gloriam tribui aut gratias agi existimet, Christum mihi testem inuoco, quod plerasque illius uirtutes meis oculis perspexi nec non ab illo patrata miracula, quae nobis scribam ad illorum utilitatem, qui ea lecturi uel audituri sunt, ut Christum laudent qui suis seruis uim tribuit, ut uoluntatem eius faciant. (Utinam) ego etiam sim dignus, qui haec uos doceam, (scilicet) quomodo ab illius initio usque ad hanc perfectionem (*wörtlich:* usque ad has mensuras) magnasque asceses peruenerit sexagintaque annos compleuerit et tunc quieuit, sicut scriptum est: breui tempore multos annos expleuit (Sap. Sal. 4,13); *bei* a: *In vieler Hinsicht, Geliebte, zeigt sehr bewundernswerte u. hervorragende Kräfte das Leben des gläubigen Dieners Gottes, Euagrius, eines Mannes, der einen guten Wandel führte nach Art der Apostel u. Propheten, eine Krone, blühend durch die Früchte vieler guten Thaten zur Ehre der allerheiligsten Dreieinigkeit. Da es ihm gegenüber nicht möglich ist, in würdiger Weise zu reden, so war ich gezwungen, nur weniges zur Erbauung derjenigen zu sagen, welche es lesen, u. zum grossen Nutzen der Hörer. Und von vorne an will ich mit Hülfe des hl. Geistes erzählen, auf welche Weise er an einen fernen Ort Judaeas gebracht wurde u. mit wie grosser Anstrengung er würdig der himmlischen Gnade erfunden wurde. U. er vollendete 57 Jahre, nachdem er in der Wüste das Mönchsgewand angenommen hatte, indem er durch Schreiben die irdischen Glieder ertötete; indem er ergeben das Kreuz Christi lange Zeit trug, gewann der Selige grosse Gnade* | τὰ — 106,1 ἀποστόλους > s | ἀοίδιμον τοῦ χριστοῦ εὐάγριον καὶ διάκονον V^1, τὸν ἀοίδιμον τοῦ χριστοῦ διάκονον εὐάγριον V^2 | ἄνδρα] δρ *a. Ras.* C^1, ρ *von m. 2 zugefügt* C^2 | ἄνδρα — ἀποστόλους 106,1 > p. |

Digitized by Google

βεβιωκότα κατὰ τοὺς ἀποστόλους οὐ δίκαιον ἡσυχάσαι, ἀλλὰ ταῦτα γραφῇ παραδοῦναι εἰς οἰκοδομὴν τῶν ἐντυγχανόντων καὶ δόξαν τῆς ἀγαθότητος τοῦ σωτῆρος ἡμῶν ἄξιον ἡγησάμενος ἄνωθεν ἐκτίθεμαι, πῶς τε ἦλθεν ἐπὶ τὸν μονήρη σκοπὸν καὶ ὅπως ἀξίως τοῦ ἐπαγγέλματος αὐτοῦ ἐξασκήσας τελευτᾷ ἐτῶν πεντήκοντα τεσσάρων ἐν τῇ ἐρήμῳ κατὰ τὸ γεγραμμένον· τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς. ἀρεστὴ γὰρ ὄντως ἐγεγόνει ἡ ψυχὴ αὐτοῦ τῷ κυρίῳ.

2. Οὗτος τῷ μὲν γένει γέγονε Ποντικός, πόλεως Ἰβόρων, υἱὸς πρεσβυτέρου, ἀναγνώστης προαχθεὶς παρὰ τοῦ ἁγίου Βασιλείου τοῦ ἐπισκόπου [τῆς ἐκκλησίας Καισαρείας τῆς πρὸς τῷ Ἀργαίῳ]. μετὰ δὲ τὴν κοίμησιν τοῦ ἁγίου Βασιλείου τοῦ ἐπισκόπου προσέχων αὐτοῦ τῇ ἐπιτηδειότητι ὁ σοφώτατος καὶ ἀπαθέστατος καὶ πάσῃ παιδείᾳ λάμπων Γρηγόριος ὁ Ναζιανζηνὸς

6 Sap. 4,13 f.

$C^2C^1LV^1V^2(P^6)$ ð a h k p s] **1** βεβιωκότα *nach* ἀποστόλους V^1V^2 | οὐ δίκαιον — 3 ἡγησάμενος] διηγήσομαι V^1V^2 | ἡσυχάσαι] + *die Geschichte dieses seligen* s | **2** τῆς ἀγαθότητος > h s | **3** σωτῆρος ἡμῶν] θεοῦ C^2 s; + *der das Bittere in Süssigkeit zu verkehren pflegt* s | ἐκτιθέναι L h p, ἐκθῆναι C^2, ἐκτιθέμενος V^1V^2 | πῶς — 4 καὶ > p | πῶς] ὅπως V^2 | **4** μονήρη > C^2 | σκοπὸν] βίον P^6 | ἀξίως — ἐπαγγέλματος > $C^2C^1P^6$ | **5** αὐτὸν C^1 ð, ἑαυτὸν C^2 | αὐτοῦ ἐξασκήσας] πολητεύσατο V^1, ἐπολιτεύσατο V^2 | ἐξασκήσας] + ἀξίως $C^2C^1P^6$ | τελευτᾷ — 7 κυρίῳ > V^2 | τελευτᾷ] + δὲ V^1 | πεντήκοντα δ ἐτῶν $C^2C^1P^6$ | π. τεσσάρων ἔτη V^1 | τῇ ἐρήμῳ] τῷ μοναστηρίῳ τῷ ἰδίῳ C^2 | κατὰ — 7 κυρίῳ > V^1 p s | **6** τελειωθεὶς] ὡς C^2 | χρόνους μακρούς] ἔτη πολλὰ C^2 | **7** ἀρεστὴ — κυρίῳ > C^2 k | ἡ — κυρίῳ] κυρίῳ ἡ ψυχὴ αὐτοῦ TP^6 | **8** οὗτος] hic igitur homo, de quo loquimur k | οὗτος — Ποντικός] οὗτος πόντιος τὸ γένος (τῷ γένει V^2) ὑπῆρχεν V^1V^2 | οὗτος] + ἦν C^2 (> γέγονεν) | τῷ — πρεσβυτέρου > p | τὸ μὲν γένος C^2 *cf.* V^1 | πόντιος $C^2V^1V^2$ | πόλεως Ἰ. > s | ἰβήρων C^1, ἰβορῶν C^2, ἰβάρων V^2, **ⲨⲂⲈⲢⲒⲀ** k, *Iberia* a | πρεσβυτέρου] χωρεπισκόπου ἀνδρὸς εὐγενοῦς τῶν πρώτων τῆς πόλεως C^2, *cf.* h, περιοδευτοῦ s | πρεσβυτέρου] + ἀνδρὸς εὐσεβοῦς a (*cf.* C^2), multarum ecclesiarum h | **9** ἀναγνώστης] πρεσβύτερος k | προαχθεὶς] δὲ κεχειρωτόνηται C^2 | ἁγίου] μεγάλου V^1 | ἐπισκόπου *nach* ἁγίου V^2 | τοῦ > V^2 | **10** καισσαρείας L, καισαρέων C^2, καισαρίας V^1 | Καισαρείας] + καππαδοκίας V^1V^2 | τῆς[1] — Ἀργαίῳ > C^2V^1 a p s | τῇ πρὸς τὸν ἀργέα C^1 | ἀργαίαν P^6 | **ⲀⲢⲔⲈⲨⲤ** k | (Ἀργαίῳ)] + *berühmt in jeder Hinsicht war sein glänzender Verstand* a | μετὰ — 11 ἐπισκόπου > p | δὲ — κοίμησιν] οὖν τὸν θάνατον C^2 | **11** τοῦ ἁγίου ἐπισκόπου Βασιλείου ð | ἁγίου] μεγάλου V^1V^2 | ἐπισκόπου] *perg.* ὁ ἀδελφὸς αὐτοῦ ὁ ἁγιώτατος ἐπίσκοπος νύσσης γρηγόριος προσχὼν αὐτοῦ τῆι ἐπιτηδειότητι χειροτονεῖ αὐτὸν διάκονον. καὶ ἐλθὼν ὁ ἅγιος γρηγόριος ὁ θεόλογος ἐν τῆι κατὰ τὴν κωνσταντινούπολιν μεγάληι συνόδωι καταλιμπάνει κτλ. (*S.* 107,3) V^1, ὁ νύσσης γρηγόριος ὁ τούτου ἀδελφὸς τῇ ἐπιτηδειότητι τούτου προσχὼν χειροτονεῖ αὐτὸν διάκονον. καὶ ἐλθὼν ὁ ἅγιος γρηγόριος ὁ θεόλογος κατὰ τὴν ἐν κωνσταντινουπόλει μεγάλην σύνοδον νεκταρίῳ τῷ μακαρίῳ πατριάρχῃ καταλιμπάνει αὐτὸν διαλεκτικώτατον κτλ. (*S.* 107,3) V^2 | ἐπισκόπου] + nec non patre suo secundum deum presbytero Constantinopolim adiuit Euagrius scientiae plenus; uestigia enim sancti Basilii sequebatur. k | προσχὼν $C^2V^1V^2$ | **12** πάσης παιδείας L | πάσῃ > C^2 | διαλάμπων C^2 | λάμπων] + ὁ ἅγιος ð | Ναζιανζηνὸς Cod. Venetus 338 [*Cf. Rosweyd*, Nota 136 in Pallad.: MSG XXXIV, 1271] a h k p s Socrat., h. e. IV 23, Sozom., h. e. VI 30, ναζηανζινὸς C^2, ὁ νυσσαεὺς L ð, ὁ νύσης C^1. |

Digitized by Google

ἐπίσκοπος προχειρίζεται τοῦτον διάκονον. ἐκεῖθεν ἐλθὼν ὁ ἅγιος Γρηγόριος ἐπίσκοπος ἐν τῇ μεγάλῃ συνόδῳ τῇ κατὰ Κωνσταντινούπολιν καταλιμπάνει αὐτὸν τῷ μακαρίῳ Νεκταρίῳ τῷ ἐπισκόπῳ διαλεκτικώτατον ὄντα κατὰ πασῶν τῶν αἱρέσεων.

3. Ἤνθει οὖν ἐν τῇ μεγάλῃ πόλει λόγοις νεανιευόμενος κατὰ πάσης αἱρέσεως. συνέβη οὖν τοῦτον ὑπερβολῇ τρόπων χρηστῶν τιμώμενον παρὰ πάσης τῆς πόλεως, εἰδώλῳ περιπαγῆναι γυναικικῆς ἐπιθυμίας, ὡς αὐτὸς ἡμῖν διηγήσατο ὕστερον ἐλευθερωθεὶς τὸ φρονοῦν. ἀντηράσθη δὲ τούτου πάλιν τὸ γύναιον· ἦν δὲ ἓν τοῦτο τῶν μεγιστάνων. 4. ὁ δὲ Εὐάγριος καὶ τὸν θεὸν φοβούμενος καὶ τὸ ἑαυτοῦ συνειδὸς αἰδούμενος καὶ πρὸ ὀφθαλμῶν τὸ ὄνειδος τῆς ἀσχημοσύνης θέμενος καὶ τὸ ἐπιχαιρέκακον τῶν αἱρέσεων ηὔξατο τὸν θεὸν ἱκετεύσας παρ' αὐτοῦ ἐμποδισθῆναι τοῦ προκειμένου σκώλου, τῆς γυναικὸς ἐπικειμένης αὐτῷ συμπράττειν τῇ ἐπιθυμίᾳ καὶ λυττώσης τῷ πάθει. θέλων δὲ αὐτῆς ὑπαναχωρῆσαι οὐκ ἴσχυε δεσμοῖς τῆς θεραπείας αὐτῆς κατεχόμενος.

$C^2C^1LV^1V^2(P^6)$ ϑ a h k p s] **1** ἐπίσκοπος] + ille, qui insignis prouidentia doctrinaque praeclarus nulla se humani generis passione laesum probauit h | ἐπίσκοπος] + ἀδελφὸς τοῦ ἐν τιμῇ τῶν ἀποστόλων Βασιλείου τοῦ ἐπισκόπου C^1L ϑ | τοῦτον > C^2 | διάκονον] + uere enim sapiens erat homo passionibus abstinens irreprehensibilis diaconus. Ille Constantinopolim adierat cum nostris patribus episcopis, tempore quo Constantinopoli synodus habita est. k | ἐκεῖθεν] + οὖν C^1 | ἐλθὼν — ἐπίσκοπος > C^2 a s | Γρηγόριος] + ὁ C^1 ϑ | Κωνσταντινούπολιν] + *kam er mit dem hl. Gregorios* s; *u. als die seligen dorthin gekommen waren* a | **3** καταλιμπάνει] + δὲ C^2 | αὐτὸν] τοῦτον C^1 | Νεκταρίῳ τῷ μακαρίῳ ἐ. ϑ | ἐπισκόπῳ] πατριάρχωι V^1 | διαλεκτικώτατον — 4 αἱρέσεων > a s | **4** τῶν αἱρέσεων > C^1 | **5** ἤνθει — 6 αἱρέσεως > C^2 p | ἤνθει οὖν] οὗτος V^1V^2 | γοῦν C^1 ϑ | πόλει] + τοῖς V^1 | λόγοις > V^2 | κατὰ — 6 τοῦτον > V^1 | κ. πασῶν αἱρέσεων νεανιευόμενος V^2 | **6** οὖν] δὲ C^1 | τούτωι L | τοῦτον] + καὶ V^1 | δι' ὑπερβολήν τε V^2, ὑποβολῆι L | ὑπερβολῇ — τιμώμενον] σφοδρῶς C^2 | χρηστῶν] χρηστότητος ϑ | τιμώμενον — 8 ἀντηράσθη] παρὰ πάντων τιμώμενος, ὡς αὐτὸς ἡμῖν ὕστερον διηγήσατο. συνέβη αὐτὸν εἰδώλωι γυναικικῆς ἐπιθυμίας περιπεσεῖν· ἀντηράσθη κτλ. V^1V^2 | **7** πόλεως] + τιμώμενον C^2 | περιπαγῆναι εἰδώλῳ ϑ | περιπαρῆναι C^1 | ὡς — 8 φρονοῦν *nach* 9 μεγιστάνων s | **8** διηγεῖτο L | ὕστερον] + δὲ C^2, > s | ὕστερον — φρονοῦν > p | τὸ φρονοῦν C^2 s, τοῦ φόνου C^1L a, passionibus k, > h | ἀντερράσθη L | δὲ] + γε V^2 | πάλιν τούτου C^1 | **9** πάλιν τὸ > V^2 | ἦν — μεγιστάνων *nach* 10 αἰδούμενος k | ἦν δὲ > V^2 | ἓν > C^2C^1 | τοῦτο > V^1 | μεγιστάνων] + ὂν V^2 | δὲ^2] οὖν C^2 | καὶ > C^2 | **10** θεὸν] + ante omnia h | φοβούμενος] + cum illa non peccauit; nam sub uiro mulier erat k | αἰδούμενος συνειδὸς C^2, ὑπὸ τοῦ συνειδότος αὐτοῦ ἐλεγχόμενος V^2 | ὀφθαλμῶν] + θεόμενος C^2 | **11** ὄνειδος] μέγεθος C^2 | ἀσχημοσύνης] αἰσχύνης V^1 | τιθέμενος V^2, > C^2 | καὶ τὸ — 12 θεὸν > V^2 | ἐπιχαιρεσίκακον C^2, χαιρέκακον ϑ | **12** τῶι θεῶι C^1V^1 | ἱκετεύων ὡς C^2, ἱκέτευσεν τὸν θεὸν παρ' αὐτοῦ V^2, deprecans saluatorem Christum p | ἐμποδισθῆναι παρ' αὐτοῦ ϑ | παρὰ τοῦ θεοῦ C^2 | ἐμποδισθῇ C^2 | τοῦ — 13 σκώλου > C^2 | **13** σκοποῦ C^1 | σκώλου — γυναικὸς] ἀπαλλαγῆναι τῆς γυναικὸς V^2 | τῆς] + οὖν C^2 | ἐπικειμένης — καὶ > V^2 | ἐπικειμένης] ἐπιμαινομένης C^2 | αὐτῷ — ἐπιθυμίᾳ > C^2 | αὐτῷ — 14 πάθει > p | συμπράττειν > C^1 | **14** τῷ πάθει > C^2 | λυττώσης] + κατ' αὐτοῦ V^2 | θέλων — ὑπαναχωρῆσαι] θέλων δὲ χωρισθῆναι ταύτης V^2 | δὲ αὐτῆς > C^2 | ἀναχωρῆσαι C^2C^1 | ἴσχυσεν V^1 | δεσμοῖς — 15 κατεχόμενος] nam illius uinciebantur cogitationes ad uoluptatem ut pueri k | **15** ταύτης C^2. |

Digitized by Google

5. Μετ᾽ οὐ πολὺ δὲ τῆς προσευχῆς αὐτοῦ προκοψάσης πρὸ τῆς τοῦ πράγματος πείρας ἐπέστη αὐτῷ ἀγγελικὴ ὀπτασία ἐν σχήματι στρατιωτῶν τοῦ ὑπάρχου καὶ ἁρπάζει αὐτὸν καὶ ἄγει ὡς ἐν δικαστηρίῳ καὶ βάλλει αὐτὸν εἰς τὴν λεγομένην κουστωδίαν κλοιοὺς σιδηροὺς κατ᾽ αὐχένα βαλὼν καὶ ἁλύσει σιδηρᾷ καταδησάντων τὰς χεῖρας τῶν ἐπ᾽ αὐτὸν δῆθεν ἐλθόντων τὴν αἰτίαν αὐτῷ οὐ λεγόντων. 6. αὐτὸς δὲ τῇ συνειδήσει κεντούμενος ἐνόμιζε ταῦτα χάριν τῆς προφάσεως ἐκείνης ὑφίστασθαι προσδοκήσας τὸν τοῦ γυναίου ἄνδρα ἐντετυχηκέναι περὶ τῆς ὑποθέσεως ταύτης τῷ δικαστῇ. ἐν δὲ τῷ ἑστάναι αὐτὸν λίαν ἀγωνιῶντα ἄλλης δίκης δῆθεν πραττομένης καὶ βασανιζομένων ἑτέρων ἐπὶ τοιούτῳ ἐγκλήματι ἔμενεν ὁ Εὐάγριος σφόδρα ἀγωνιῶν. 7. μετὰ δὲ τὸν πολὺν φόβον ἐκεῖνον καὶ τὴν ἄμετρον ἀγωνίαν μετασχηματίζεται ὁ ἄγγελος ὁ τὸν πολὺν αὐτοῦ φόβον ἐν τῇ ὀπτασίᾳ παρασχὼν εἰς παρουσίαν γνησίου φίλου πρὸς ἐπίσκεψιν ἥκοντος πρὸς αὐτόν. ὃς καὶ σφόδρα δῆθεν ἐκπλαγεὶς καὶ γενόμενος κατηφὴς τῇ τοσαύτῃ ἀτιμίᾳ τῶν δεσμῶν τοῦ γνησίου φίλου λέγει αὐτῷ δεδεμένῳ μεταξὺ σειρᾶς

$C^2C^1LV^1V^2$ δ a h k p s] **1** μετ᾽ οὐ — 3 ὑπάρχου] non autem morata est misericordia diuina, ut illum apprehenderet, sed illius precum orationumque cito uenit ad illum eique robur uisione dedit. Antequam illi cum femina aliquid accidisset mali, illi in uisione nocturna dominus misit angelos splendidis uestibus uestitos tanquam eparchi milites k | πολλὰ L | δὲ] γοῦν C^2 | εὐχῆς C^2 | τούτου C^1L | **2** πράγματος] ἔργου V^1V^2 | τούτῳ ἐπέστη *nach* ὀπτασία V^2 | στρατιώτου δ | **3** ἐπάρχου L k, praefecturae officium h, praefectiani p | ἁρπάζει] βάλλη C^2 | πρὸς δικαστὴν (ad iudicem) k | **4** αὐτὸν] + cum aliis furibus k | λεγομένην > k | κλυοῖς σιδηροῖς C^2C^1L | κατ᾽ — βαλὼν] κατασφαλισάμενοι V^2 | κατ᾽ > C^2 | βαλόντες, ον *a. Ras.* C^1, > C^2V^1 | **5** ἁλύσει σιδηρᾷ] χεῖρας C^2, > V^2 | σιδηρᾷ > V^1 | καταδείσαντες, ντ *auf Ras.* C^1 | καταδησάντων] + tanquam si illum quaesiuissent k | τὰς χεῖρας > C^2 | τῶν . . . ἐλθόντων] οἱ . . . ἐλθόντες C^1V^2 | ἐπ᾽ αὐτῶι V^1 | ἐλθόντων δῆθεν C^2 | **6** αὐτῷ > C^2V^1 | λεγόντων] + αὐτῶι V^1 | λέγοντος p, μὴ εἰπόντες V^2 | τῷ συνειδότι V^2, conscientiam cogitans suam h | κεντούμενος — 7 ὑφίστασθαι] ἤδει ὅτι χάριν ταύτης ὑφίσταται ταῦτα C^2 | **7** χάριν] + ταύτης C^1 | προφάσεως] αἰτίας C^1 | ἐκείνης > C^1 | προσδοκῶν *nach* 8 ἄνδρα V^2 | τὸν — 8 ἄνδρα] αὐτῆς τῷ ἀνδρὶ C^2 | **8** περὶ — ταύτης > k | περὶ — δικαστῇ > C^2 | τῆς ὑποθέσεως > V^2 | **9** δὲ] γοῦν V^2, > C^2 | τῷ] + οὖν C^2 | ἑστάναι] αἰσθᾶναι L, > C^2 | λίαν αὐτὸν C^2 | ἀγωνιῶντα λίαν V^1, > V^2 | ἀγωνιᾶν C^2 | ἄλλης — 11 ἀγωνίαν > k | δῆθεν > C^2V^2 | πραττομένης] δικαζομένης τοιαύτης V^2 | **10** τοιούτῳ > C^2 | ἔμενεν] ἵστατο V^2 | ὁ Εὐάγριος > C^2 | σφόδρα ἀγωνιῶν] τρέμων V^2, territus et contremiscens p | **11** μετὰ — ἀγωνίαν > C^2 p | δὲ] οὖν C^1, γοῦν V^2 | τὴν ἀγωνίαν τὴν ἄμετρον V^2 | **12** μετασχηματίζεται — ἄγγελος] εἰς γνήσιον φίλον ὁ αὐτὸς ἄγγελος μετασχηματίζεται V^1, ὁ ἄγων αὐτὸν ἄγγελος εἰς γνήσιον φίλον μετασχηματισθεὶς V^2 | μετασχηματίζεται] + δὲ C^2 | ὁ² — 13 παρασχὼν > k | ὁ — φόβον ἐν] τὴν ἀρχὴν C^1, τὴν C^2 | τῇ ὀπτασίᾳ] ὀπτασίαν C^2, τῆς ὀπτασίας C^1 | **13** παρασχὼν] + αὐτῷ C^2 | φίλου] + τοῦ εὐαγρίου C^1, ὡς V^2 | πρὸς¹ — 15 φίλου > C^2 p | πρὸς² — 14 ὃς > C^1 | ἥκοντος — *S.* 109,1 καταδίκων] δῆθεν ἥκων αὐτοῦ, ἐν κατηφείᾳ πολλῇ τυγχάνων, φησὶ πρὸς αὐτὸν μεταξὺ τεσσαράκοντα καταδίκων ἐν ἁλύσει ὄντων V^2 | **14** ὃς — *S.* 109,1 καταδίκων] illi cum furibus uincto dixit k | καὶ > L | **15** τοῦ — φίλου > C^1 | γνησίου] + αὐτοῦ V^1 | καὶ λέγει C^2 | σειραῖς L. |

Digitized by Google

τεσσαράκοντα καταδίκων: ‚τίνος ἕνεκεν κατέχῃ ἐνταῦθα, κύρι διάκονε;‘ λέγει αὐτῷ ἐκεῖνος· ‚κατὰ μὲν αὐτὴν τὴν ἀλήθειαν οὐκ ἐπίσταμαι, ὑπόνοια δέ με ἔχει, ὅτι ὁ δεῖνα ὁ ἀπὸ ὑπάρχων ἐνέτυχε κατ᾽ ἐμοῦ ἀλόγῳ ζηλοτυπίᾳ πληγείς· καὶ δέδοικα, μήποτε ὁ ἄρχων χρήμασιν ὑπ᾽ αὐτοῦ διαφθαρῇ καὶ τιμωρίᾳ με περιβάλλῃ μεγίστῃ‘. 8. λέγει αὐτῷ ὁ φίλος τῷ σχήματι· ‚εἰ ἀκούεις τοῦ φίλου σου, συμβουλεύσω σοι. οὐ συμφέρει σοι ἐν τῇ πόλει ταύτῃ διάγειν.‘ λέγει αὐτῷ ὁ Εὐάγριος· ‚ἐὰν ὁ θεὸς ταύτης με τῆς συμφορᾶς ἀπαλλάξῃ, καὶ ἴδῃς με ἐν Κωνσταντινουπόλει, γνῶθι, ὅτι εὐλόγως ὑφίσταμαι ταύτην τὴν τιμωρίαν καὶ ἑτέρας μείζονος ἄξιος ὤν.‘ 9. λέγει αὐτῷ ὁ φίλος· ‚εἰ οὕτως ἔχει, φέρω τὸ εὐαγγέλιον καὶ ὄμοσόν μοι ἐν αὐτῷ, ὅτι ἀναχωρεῖς τῆς πόλεως ταύτης καὶ φροντίζεις σου τῆς ψυχῆς. καὶ ἀπαλλάσσω σε ἐγὼ ταύτης τῆς ἀνάγκης.‘ ὁ δὲ Εὐάγριος· ‚δέομαί σου· ὄμνυμί σοι, ὡς θέλεις. μόνον με ἀπάλλαξον τοῦ σκοτεινοῦ νέφους.‘ 10. καὶ ἐν τούτοις κομίζει αὐτῷ τὸ εὐαγγέλιον καὶ ἀπαιτεῖ τὸν ὅρκον. ὁ δὲ Εὐάγριος ὄμνυσιν αὐτῷ κατὰ τοῦ εὐαγγελίου, ὅτι· ‚παρεκτὸς μιᾶς ἡμέρας οὐ μὴ μείνω ἐνθάδε, καὶ ταύτην, ἵνα φθάσω ἐμβαλεῖν μου τὰ ἱμάτια ἐν τῷ πλοίῳ.‘ τοῦ ὅρκου οὖν

$C^2 C^1 L V^1 V^2$ 𝔡 a h k p s] **1** καταδίκων μ̄ V^1 | τίνος ἕνεκεν C^2 k p, τί οὕτως h, τί οὕτως ἀτίμως μετὰ τῶν καταδίκων $C^1 L V^1 V^2$ | ἐνταῦθα > $C^1 L V^1 V^2$ h k | διάκονε] + καὶ V^2 | **2** αὐτῷ > V^2 k | ἐκεῖνος] Euagrius p, > C^2 | αὐτὴν τὴν > C^2 𝔡 | με ἔχει] μοι λέγει? k | **3** ὁ² — ὑπάρχων > k | ἐπάρχων L | ἐντετύχηκεν $L V^1$, ἐντετύχηκε V^2 | ἀλόγῳ > k | καὶ *s. l. m. 1* V^1, igitur (οὖν) k | **4** μὴ V^2 | ὑπ᾽ — τιμωρίᾳ] κλαπεὶς ὑπ᾽ αὐτοῦ τιμωρία V^2 | ὑπ᾽ αὐτοῦ > C^2 k p | διαφθαρῇ ὑπ᾽ αὐτοῦ C^1 | διαφθαρῇ — 5 μεγίστῃ] tormentis me subiciat p, ut hic me uiolentia propere perdat k | διαφθαρεὶς C^2 | καὶ — 5 μεγίστῃ] τιμωρήσηταί με C^2 | **5** περιβάλῃ $V^1 V^2$ 𝔡, ὑποβάλει C^1 | μεγίστῃ] mortis h s | ὁ — σχήματι] angelus k, > C^2 s | ἀκούεις] + μου V^2 k p | **6** συμβουλεύσω σοι > C^2 k | διάγειν] + καὶ V^2 | **7** αὐτῷ] αὐτὸ C^1, > k | *nach* Εὐάγριος *Ras. v. c. 21 Bst.* L | ὁ² > C^2 | ταύτης — ἀπαλλάξῃ C^1, ταύτης τῆς συμφορᾶς ἀπαλλάξηι $L V^1$ 𝔡, με ἀπαλλάξηι (+ ταύτης C^2) τῆς συμφορᾶς $C^2 V^2$ p | συμφορᾶς] ἀνάγκης k | **8** καὶ ἴδῃς — 9 ὤν] οὐκέτι ἐν Κωνσταντινουπόλει ὀφθήσομαι V^2 | με > L | γνῶθι] dicito k | ὑφίστασαι k | ταύτην τὴν > p | ταύτην *nach* τιμωρίαν C^2 | **9** καὶ — ἄξιος ὤν > C^2 k p | ὤν > L | αὐτῷ > k | ὁ φίλος] πάλιν ἐκεῖνος C^2, angelus sub amici forma k, > p | εἰ — 10 ἔχει > C^2 k p | **10** ἔχεις V^2 | φέρω] affer p | φέρω] + σοι k | καὶ > k | ἐν αὐτῷ > k | ὅτι — 11 ταύτης] non in hac ciuitate manebo k | *nach* ἀναχωρεῖς *scheint* ταυ *ausrad.* C^2 | **11** καὶ¹] + ὅτι k | φροντίζῃς V^2 | τῆς ψυχῆς σου $V^1 V^2$ | καὶ] κἀγὼ V^2 k | ἐγὼ > V^2 k | **12** τῆς ἀνάγκης ταύτης $C^2 V^2$ | ὁ δὲ — 13 τούτοις] ὁ δὲ συνέθετο καὶ $V^1 V^2$ | ὁ δὲ — 14 ὅρκον] ἤνεγκεν οὖν τὸ εὐαγγέλιον C^2 k | ὁ δὲ — 13 νέφους > p | **13** ἀπάλλαξόν με C^1 | ἀπάλλαξον] + τούτου 𝔡 | σκοτεινοῦ] + τούτου C^1 | **14** αὐτῷ¹] αὐτὸν L, > p | ἀπαιτεῖ *aus* ἀπετεῖ V^2 | ὁ δὲ — ὄμνυσιν] καὶ ὤμοσεν C^2 | Εὐάγριος] ille sic k | ὤμοσεν V^1, ὤμωσεν V^2 | αὐτὸν L, > k | **15** οὐ μὴ — 16 ταύτην > C^2 | οὐ μὴ — ἐνθάδε] ex urbe exibo k | ἐνθάδε] ἐν τῇ πόλει V^2 | **16** ταύτης 𝔡 | ἵνα — πλοίῳ] ἵνα τὰ ἱμάτια μου ἐμβάλω εἰς πλοῖον V^2 k | τὰ ἱμάτια μου ἐμβαλεῖν C^1 | εἰς τὸ πλοῖον τὰ ἱμάτια μου C^2 | μου] + οὐ μὴ παραμείνω C^2 | εἰς τὸ πλοῖον C^1 | τοῦ] + δὲ C^1 | οὖν ὅρκου C^2 οὖν > C^1. |

Digitized by Google

προχωρήσαντος [ἐναγώνιος ὢν] ἐπανῆλθεν ἀπὸ τῆς ἐκστάσεως τῆς γεναμένης αὐτῷ ἐν τῇ νυκτὶ καὶ ἀναστὰς ἐλογίσατο, ὅτι ‚εἰ καὶ ἐν ἐκστάσει γέγονεν ὁ ὅρκος, ἀλλ' ὅμως ὤμοσα.' βαλὼν οὖν πάντα, ἃ εἶχεν, εἰς πλοῖον ἔρχεται εἰς Ἱεροσόλυμα.

11. Καὶ ἐκεῖ δεξιοῦται παρὰ μακαρίας Μελανίας τῆς Ῥωμαίας. πάλιν τοῦ διαβόλου σκληρύναντος αὐτοῦ τὴν καρδίαν καθάπερ τοῦ Φαραὼ [καὶ] ὡς νέῳ καὶ σφριγῶντι τὴν ἡλικίαν γέγονε πάλιν ἐνδοιασμὸς καὶ ἐδιψύχησε μηδενὶ μηδὲν εἰρηκώς, κἀκεῖσε πάλιν ἐξαλλάσσων τοῖς ἱματίοις καὶ ἐν τῇ διαλέκτῳ ἐκάρου τοῦτον ἡ κενοδοξία. 12. ἀλλ' ὁ ἐμποδιστὴς τῆς πάντων ἡμῶν ἀπωλείας θεὸς ἐνέβαλεν αὐτὸν καὶ ἐνταῦθα εἰς ἑτέραν περίστασιν ἐπιβαλὼν αὐτῷ πυρετὸν κἀκεῖθεν εἰς νόσον μακρὰν ἐξαμηνιαίῳ χρόνῳ ταριχεύσας αὐτοῦ τὸ σαρκίον, δι' οὗ ἐνεποδίζετο εἰς ἀρετήν. τῶν οὖν ἰατρῶν ἀπορούντων καὶ τρόπον θεραπείας μὴ εὑρισκόντων λέγει αὐτῷ ἡ μακαρία Μελανία· ‚οὐκ ἀρέσκει μοι, υἱέ, ἡ σὴ μακρονοσία. εἰπὲ οὖν μοι τὰ ἐν τῇ

6 Cf. Ex. 4,21. 7,3 etc.

$C^2C^1LV^1V^2$ ð h k p s] **1** προχωρήσαντος — 2 ἐλογίσατο] προχωρήσαντος ἐπανῆλθεν εἰς ἑαυτὸν καὶ ἐναγώνιος ὢν ἀναστὰς διελογίζετο V^2 | προχωρήσαντες — ὢν] γενομένου ἀπεχώρησεν ὁ ἀνὴρ καὶ εὐθέως καὶ αὐτὸς C^2 | ἐναγώνιος ὢν > C^1 k p | γεναμένης] η *a. Ras.* C^1, γενομένης C^2V^1 ð | **2** ἐλογίζετο C^2, dixit k | **3** γέγονεν] + μου V^2 | ὤμοσα] + surrexit autem extemplo k | πάντα] (+ uasa sua ac k) uestes k s | ἃ εἶχεν > C^2 k s | εἰς] + τὸ C^2 | **4** ἔρχεται] ἐπορεύθη C^1 | **5** καὶ ἐκεῖ] κἀκεῖσαι C^2, cum gaudio k | ἐκεῖ > V^1V^2 | τῆς Ῥωμαίας] quondam senatrix Romana, cuius filii et nepotes sunt primi in senatu, nunc autem famula Christi uera p | πάλιν] + δὲ C^1V^2, οὖν C^2 | **6** καθάπερ] ὥσπερ V^1, tanquam olim k | τοῦ Φαραὼ καὶ > p | καὶ > C^2 | ὡς — 7 ἡλικίαν] ὡς ἐν νέα καὶ σφριγώση τῇ ἡλικία ὄντος V^2 k | **7** καὶ[1] — 8 εἰρηκώς > p | σφρίγοντι C^1, σφρίγγοντι L | πάλιν] αὐτῶι C^1, > C^2 | ἐνδυασμὸς C^1 L, ἐνδυ^{οι}ασμὸς V^1, ἐν ἐνδυασμῶ V^2 | ἐνδοιασμὸς] + τις C^2 | ἐδυσψύχησε ð | **8** κἀκεῖσε — 9 κενοδοξίας] ex maiore uerborum scientia uestiumque pulchrarum mutatione et multiformium — illas enim bis per diem mutabat — donec in superbiam uoluptatemque corporis incideret k | καὶ — 9 κενοδοξία] ἦν καὶ ὑπὸ τῆς κενοδοξίας καρούμενος V^2 | **9** διαλέκτου V^1 | ἐκάρου — κενοδοξία] καρούμενος ὑπὸ τῆς κενοδοξίας LV^1 | τοῦτον] αὐτὸν C^2 | ἀλλ' ὁ] ὁ δὲ C^2 | ἐμποδισθεὶς L | ἐμποδιστὴς] + propter misericordiam p | τῆς *vor* 10 ἀπωλείας LV^2 | πάντων ἡμῶν] suis hominibus omni tempore k, > V^1 | **10** ἀπωλείας] + καὶ προνοητὴς τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν C^2, ἡμῶν ὁ πάντων V^1 | ἐνέβαλλεν L | αὐτὸν — ἐπιβαλὼν > h k p s | καὶ ἐνταῦθα] πάλιν V^2, > C^2C^1 | ἑτέραν > C^2C^1 | περίστασιν] + πάλιν C^1 | ἐπιβαλὼν — 11 πυρετὸν] πυρετοῦ C^2 | **11** εἰς > V^2 | μακρὰν] + ἐν ð | ἐξαμηνιαίῳ — 12 ἀρετήν] ἐπὶ ἓξ μῆνας (+ καὶ V^2) κατατήξας τὸ σῶμα (+ αὐτοῦ ὡς V^2) καὶ V^1V^2 | ἐξαμηνιαίῳ χρόνῳ > k | ταριχεύσας — 12 ἀρετὴν > p s | **12** δι' οὗ — 13 εὑρισκόντων] omnesque hi dolores eum ita occulte susceperant, ut medici de morbo dubitantes illum curare non possint k | εἰς ἀρετήν] μὴ δυνάμενος σωφρονεῖν. τοῦ οὖν δεσπότου θεοῦ οὕτως τάχα προορίσαντος καὶ C^2 | τῶν — 13 εὑρισκόντων] τοὺς ἰατροὺς ἀπορεῖν τὴν θεραπείαν αὐτοῦ V^2 | τῶν οὖν] τὸν νοῦν L | ἰατρῶν οὖν C^1 | ἰατρῶν] + τάχα κατὰ πρόνοιαν τοῦ κρείττονος C^2 | **13** ἀπορούντων καὶ > s | καὶ — εὑρισκόντων] τῆς θεραπείας V^1 | μὴ] οὐχ C^2 | λέγει] + οὖν V^2 | αὐτῷ > ð | **14** μελανίων L, Μελάνιον ð | υἱέ] + Εὐάγριε k | ἡ μακρονοσία σου (+ αὕτη V^2) V^1V^2 | μακρονοσία] + tuas cogitationes ne mihi occultes; forsan te curabo k | μοι] + cum sinceritate k. |

Digitized by Google

διανοίᾳ σου. οὐκ ἔστι γὰρ ἀθεία αὕτη σου ἡ νόσος.‘ ὡμολόγησεν οὖν αὐτῇ τὸ κατὰ Κωνσταντινούπολιν πρᾶγμα συμβάν. 13. λέγει αὐτῷ ἡ μακαρῖτις· ‚δός μοι λόγον ἐπὶ κυρίου, ὅτι ἔχῃ τοῦ σκοποῦ τοῦ εἰς τὸν μονήρη βίον. καὶ εἰ καὶ ἁμαρτωλή εἰμι προσεύχομαι πρὸς κύριον, ἵνα δοθῇ σοι καιρὸς καμάτου καὶ προθεσμία ζωῆς.‘ ὁ δὲ συνέθετο. εὐξαμένης δὲ αὐτῆς ἐντὸς ὀλιγῶν ἡμερῶν ὑγίανεν. καὶ ἀναστὰς παρ’ αὐτῆς ἐκείνης μετημφιάσθη καὶ ἐξέρχεται ἐκδημήσας εἰς τὸ ὄρος τῆς Νιτρίας τὸ ἐν Αἰγύπτῳ.

14. Ἐν ᾧ οἰκήσας δεύτερον ἔτος τῷ τρίτῳ εἰσβάλλει εἰς τὴν ἔρημον. ζήσας οὖν δεκατέσσαρα ἔτη ἐν τοῖς λεγομένοις Κελλίοις ἤσθιε μὲν ἄρτου λίτραν τὴν ἡμέραν, ἐν τριμηνιαίῳ δὲ χρόνῳ ξέστην ἐλαίου· ἀνὴρ ἀπὸ ἁβροτάτου καὶ τρυφηλοῦ βίου καὶ ὑγροτάτου ἠγμένος. ἐποίει δὲ εὐχὰς ἑκατόν, γράφων τὴν τιμὴν μόνον, ὧν ἤσθιεν τοῦ ἔτους. εὐφυῶς γὰρ ἔγραφε τὸν

$C^2C^1LV^1V^2$ δ h (k) p s] **1** οὐκ — νόσος > V^1V^2 | ἀθεία] ἀγαθή C^1, θεοῦ ἄνευ C^2, ἀληθείᾳ δ | αὕτη *nach* νόσος C^2 | ὡμολόγησεν — 2 αὐτῇ] τότε αὐτῇ ὡμολόγησεν C^2, καὶ ὡμολόγησεν αὐτῇ V^1V^2 | **2** αὐτὴ C^1, αὐτὴν L | τὸ — συμβάν] omnem causam h s, omnia, quae in animo eius erant p, omnes suas cogitationes k | κατὰ Κωνσταντινούπολιν > C^2 | κατὰ] + τὴν V^2 | πρᾶγμα] αὐτῷ δ | σύμπαν C^2, > C^1 | καὶ λέγει C^1, ἡ δὲ λέγει αὐτῷ C^2 | ἡ μακαρῖτις] illa k | μακαρία C^1, > C^2 | **3** δός] δ *a. Ras.* C^1 | ἐπὶ κυρίου > k | ὅτι — βίον] ὅτι λαμβάνεσαι τὸν μονήρι βίον (τοῦ μονήρους βίου V^2) V^1V^2 | ἔχῃ] ἔχει L, ἄρχῃ C^1 | σκοποῦ] + σου C^2 | τοῦ^2] τούτου δ | τοῦ — βίον] te habitum monachalem induturum k | εἰς τὸν > C^2 | μονήρους βίου C^2 | **4** καὶ^1] κἀγὼ C^1 | καὶ^2 > L h p | ἁμαρτωλὸς V^1V^2 δ | εἰμι] τυγχάνω C^2 | προσεύξομαι δ k | προσεύχομαι — κύριον] (ὅμως V^2) δέομαι τοῦ θεοῦ V^1V^2 | πρὸς κύριον] ὑπέρ σου C^2, deum meum k, > C^1 | πρὸς] + τὸν δ | ἵνα — 5 ζωῆς] ut tibi gratis det salutem k | σοι δοθῆι L | σοι > V^1V^2 | καιρὸς — 5 ζωῆς] ῥῶσις καὶ ὑγεία σώματος C^2 | **5** καμάτου — προθεσμία] μετανοίας καὶ V^1V^2 | καμάτου] μετανοι (*so!*) C^1, κομιάτου δ | δὲ] εὐθέως C^2 | συνέθετο] + καὶ V^1 | εὐξαμένης — αὐτῆς] ἡ δὲ ἁγία τοῦ θεοῦ δούλη οὐ διέλιπε προσευχομένη ἡμέρας καὶ νυκτὸς ὑπὲρ αὐτοῦ τὸν θεὸν ἱκετεύουσα C^2, > h k p s | προσευξαμένης C^1 | δὲ > V^1 | ἐντὸς] ἐν V^1V^2 | ἐντὸς] + οὖν C^2 | **6** ὀλίγαις (ὀλίγες V^2) ἡμέραις V^1V^2 | καὶ ἀναστὰς] et de lectulo surgens mox coepit de profectione, quam spoponderat cogitare h, petiit et deprecatus est, ut famula dei pro se oraret p | παρ’ — ἐκείνης > k | ἠμφιάσθη τὸ μοναχικὸν σχῆμα C^1 | καὶ > k | **7** ἔρχεται C^1 | ἐκδημήσας > V^1 | τὸ] τῷ C^1L | **8** ἐν ᾧ — 9 ἔτη] καὶ μετὰ δύο ἔτη (οἰκήσας δύο ἔτη V^2) εἰσῆλθεν εἰς τὴν ἔρημον καὶ ἔμεινεν (+ ἐκεῖ V^2) ἐπὶ ιδ ἔτησιν V^1V^2 | τὸ τρίτον C^2 | τρίτῳ] + egressus est k | ἔρημον] cellarum desertum k | **9** ἐν — κελλίοις] quindecim (*Amélineau übersetzt falsch:* sedecim) annos habitauit ibi se multis exercitationibus exercens ibique sexaginta annos natus quieuit. Non senectutis corporisque amaritudines uidit et ita quieuit, sicut scriptum est: breui tempore multos annos expleuit citoque ad dominum transportatus est, ne malitia eius mutaret intellectum. *(Die abweichende Fortsetzung s. am Schluss)* k | μὲν] δὲ V^1V^2 | **10** λίτραν ἄρτου C^2 | λύτραν δ | ἄρτου > s | τὴν ἡμέραν > C^2 | ἡμέραν] + καὶ p | ἐν — ἐλαίου] καὶ ἐλαίου ξεστία τέσσαρα τὸν ἐνιαυτὸν V^1V^2 | τριμηναίωι C^1L | χρόνῳ > C^2 | ἐλαίου] + nam nihil coctum sumebat in cibum nec aliquid de pomis gustabat p | **11** ἁβροῦ C^1, ἁβροδιαίτου δ | ἁβροτάτου καὶ > V^1V^2 | ἠγμένος] + καὶ V^1V^2 | δὲ > V^1V^2 | ἐποίει] + in die k p s | ἑκατόν] + exceptis uigiliis nocturnis p | **12** γράφων] + τὸ ὀξύριγχον V^1, τὸν ὀξύριγχον χαρακτῆρα V^2, elegansque scriba erat k | τοῦ ἔτους *nach* γράφων C^1LV^1 δ, > p s | μόνων LV^2 | ὧν] + διὰ τοῦ ἔτους V^2 | εὐφυῶς — 112,1 χαρακτῆρα] *dieses war aber seine Arbeit: er schrieb Schriften ab.* s; > V^1V^2 k. |

Digitized by Google

ὀξύρυγχον χαρακτῆρα. ἐντὸς οὖν πεντεκαίδεκα ἐτῶν καθαρεύσας τὸν νοῦν κατηξιώθη χαρίσματος γνώσεως καὶ σοφίας καὶ διακρίσεως πνευμάτων. συντάττει οὖν οὗτος τρία βιβλία, Ἱερά, Μοναχόν, Ἀντιρρητικὸν οὕτω λεγόμενα, τὰς πρὸς τοὺς δαίμονας ὑποθέμενος τέχνας.

15. Τούτῳ ὤχλησέ ποτε εἰς βάρος ὁ τῆς πορνείας δαίμων, ὡς αὐτὸς ἡμῖν διηγεῖτο. καὶ διὰ πάσης νυκτὸς γυμνὸς ἔστη ἐν τῷ φρέατι χειμῶνος ὄντος, ὡς παγῆναι αὐτοῦ τὰς σάρκας. ἄλλοτε πάλιν ὤχλησεν αὐτῷ πνεῦμα βλασφημίας καὶ ἐν τεσσαράκοντα ἡμέραις ὑπὸ στέγην οὐκ εἰσῆλθεν, ὡς καὶ τὸ σῶμα αὐτοῦ καθάπερ τῶν ἀγρίων ζώων κρότωνας ἐκβράσαι. 16. τούτῳ τρεῖς ἐπέστησαν ἐν ἡμέρᾳ δαίμονες ἐν σχήματι κληρικῶν περὶ πίστεως συζητοῦντες αὐτῷ. καὶ ὁ μὲν ἔλεγεν ἑαυτὸν Ἀρειανόν, ὁ δὲ Εὐνομιανόν, ὁ δὲ Ἀπολιναριανόν. καὶ τούτων περιεγένετο διὰ βραχέων τῇ πνευματικῇ σοφίᾳ.

